C. C. Felton, 2,

EURIPIDIS

ELECTRA.

ΕΥΡΙΠΙΔΟΥ

ΗΛΕΚΤΡΑ

EURIPIDIS

ELECTRA.

AD OPTIMARUM EDITIONUM FIDEM

EMENDAVIT

ET ANNOTATIONIBUS

IN USUM JUVENTUTIS

INSTRUXIT

HASTINGS ROBINSON, A.M.

COLLEGII D. JOHANNIS,

ET SOCIETATIS PHILOSOPHICÆ CANTABRIGIENSIS SOCIUS.

CANTABRIGIÆ

TYPIS ACADEMICIS EXCUDIT J. SMITH

VENEUNT CANTABRIGIÆ APUD J. DEIGHTON ET FILIOS;
LONDINI APUD G. ET W. B. WHITTAKER, J. MAWMAN; ET
OXONIÆ APUD J. PARKER.

M DCCC XXII.

PRÆFATIO.

Periculosa plenum opus aleâ tractat, qui se ad Tragicos illustrandos post Blomfieldium, Butlerum, Elmsleium, Monkium accingit. Ego sane Electram in me suscepi, hâc potissimum de causâ, quod hæc Tragœdia, licet haud inter optimas enumeranda, multa tamen et præclara continet, quæ digna sunt ut formâ prodeant pueris accommodatissimâ. Hanc, criticorum ope quam maximè indigentem, neque Elmsleius, neque Monkius, quorum uterque de Euripide tantum meritus est, adhuc recensuit; quos quidem etiamsi ad reliquas summi poetæ fabulas suo quamque ordine pergant, optandum potius quam sperandum erit, tanto operi coronidem esse impposituros. Horum igitur vestigiis inhærens, ex hoc "corruptelarum nidulo," sic enim vocat Piersonus, puriorem tandem et limatiorem textum eruere conatus sum. Ad hoc veteres Editiones inter se comparavi, et partim ex mei

ipsius, partim ex aliorum collationibus lectiones optimas indicare volui. Unum codicem (Bibl. Reg. Par. Num. MMDCCXIV.) accuratè contuli; ex quo tamen, a Musgravio prius collato, vix aut ne vix aliquid hauriendum reperi. VV. DD, et præsertim Porsoni conjecturas, quâ potui diligentiâ, in notis indicavi; nullam tamen novam lectionem, nisi monito lectore, in textum recepi. Præterea, cum supervacaneum esset de omni varietate lectionum, re pueris plerumque fastiditâ, mentionem facere, iis satis consultum esse duxi, quando præcipuas tantummodo varietates notaveram. Quod ad chorica spectat, Seidlerum plerumque, qui Lipsiæ nuper hanc fabulam bene recensuit, ducem habui.

Pauca quædam de scenicis disserere in animo erat; re tamen magis perpensâ, satius tacere duxi, quam parum dicere; eoque magis, quod hæc omnia nuper in Museo Critico Cantabrigiensi Blomfieldius exantlavit. Simili ferè ratione de Grammaticæ regulis, a Matthiæ tam dilucidè expositis, omnino tacui. Ipsum enim librum ab omnibus evolvendum volo, qui

in Græcis literis vel mediocriter proficere cupiant. Vim cujusque verbi, si quid minus usitatum incidit, explanare statui, allatis subinde locis parallelis, unde mutua locutionum inter se explicatio derivari posset. Quæcunque denique ad linguæ vel ampliorem notitiam, vel ad delectationem spectant, pro virili notavi; quæ si bonæ mentis juvenibus usui futura sint, mihi certe erunt voluptati.

Dabam e Coll. Div. Joh.
Prid. Non. Maii. MDCCCXXII.

VICTORII
ARGUMENTUM ELECTRÆ.

Cæso per dolum Agamemnone, regnoque Argivorum occupato, Ægisthus filios quoque ipsius interimere voluit. Orestes infans e mediâ cæde a sorore Electrâ ereptus, servo in aliam terram asportandus traditur: feminis vitam socia facinoris Clytæmnestra ab adultero impetravit. Quarum alteram ferociorem quum jam nubilem Ægisthus videret, periculum sibi inde creari existimans, nobili alicui dare nuptum recusavit, nec domi grandem jam tenere, metuens furtivas nuptias, tutum esse credens, colono cuidam conciliavit, qui se indignum eo matrimonio intelligens, integram eam servavit. Orestes adultus, et patris ulciscendi, et regni recuperandi cupidus, clam in agrum Argivum se contulit, sororemque, quam extra urbem vivere audierat, invenit: a quâ quid fieri oporteret admonitus, ususque operâ veteris sui conservatoris, manuque fidelis amici comitisque Pyladis, Ægisthum primum in agro immolantem necavit: deinde Clytæmnestram, tractam in insidias ab Electrâ, interfecit. Quo parricidio per-

petrato, statim ipsos vehementer pœnituit, quod toto pectore expetiverant, fecisse. Confectos filios ægritudine, ac se sceleris damnantes, affines ipsis sanguine Castor ac Pollux adventu suo consolantur: et quid e re natâ facere illos opus sit docent, cunctaque plena maximarum perturbationum componunt.

Exitus igitur fabulæ ἀπὸ μηχανῆς, ac similis admodum dissolutioni Orestis. Quod enim hic faciunt Dioscuri, illic Apollo præstitit. Utriusque autem finis, quum minime tristis sit, (non male enim actum est cum superstitibus, ac voti pene compotes omnes facti sunt) magis proprius esse comœdiæ, quam tragœdiæ, videtur: nam quod in argumento hic fingit Poeta, colonum illum a virgine, quam domi diu habuerit, se abstinuisse, non verisimile est: quod tamen vitium ipse purgare summo studio conatur, quum eum, quamvis pauperem hominem, nobili stirpe natum dicit, ut generositas animi iniquitate fortunæ extingui non potuerit. Præterea cum reformidasse eum Orestem narrat, si quando revertisset, ne pœnas illi daret violatæ sororis, sed etiam secum quoque illum cogitasse demonstrat, non habuisse jus in alienam filiam Ægisthum, ut ratæ nuptiæ illæ ullo pacto esse potuerint. Si quid aliud hujuscemodi est in coagmentatione rerum, quod ratione careat, nec satis belle cohæreat, id eruditi ac ingeniosi viri videbunt. Neque

enim nunc nobis propositum est id accurate ostendere. Utinam ut hæc fabula partes quasdam habet elegantissimas, summoque artificio confectas, necnon optimarum verissimarumque sententiarum tota plena est, ita reprehensione hâc, culpaque vacaret, ac rectam *οἰκονομίαν* haberet.

Ἡ *μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ὁρίοις τῆς* Ἀργείας *γῆς*. Ὁ *δὲ* Χόρος *συνέστηκεν ἐξ ἐπιχωρίων γυναικῶν.*

TA TOY

ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΥΤΟΥΡΓΟΣ ΜΥΚΗΝΑΙΟΣ.

ΗΛΕΚΤΡΑ.

ΟΡΕΣΤΗΣ.

ΠΥΛΑΔΗΣ, *Κωφὸν Πρόσωπον.*

ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΠΡΕΣΒΥΣ.

ΑΓΓΕΛΟΣ.

ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ὁ Αὐτουργός.

N. B. Numerus in summo pàginæ, qui titulum sequitur, indicat quotus sit in Musgravianâ editione primus istius paginæ versus.

ΕΥΡΙΠΙΔΟΥ

ΗΛΕΚΤΡΑ.

ΑΥΤΟΥΡΓΟΣ.

Ω ΓΗΣ παλαιὸν Ἄργος, Ἰνάχου ῥοαὶ,
ὅθεν ποτ' ἄρας ναυσὶ χιλίαις Ἄρην,
εἰς γῆν ἔπλευσε Τρῳάδ' Ἀγαμέμνων ἄναξ·
κτείνας δὲ τὸν κρατοῦντ' ἐν Ἰλιάδι χθονὶ

'ΑΥΤΟΥΡΓΟΣ.—ὁ δι' ἑαυτοῦ τὴν γῆν ἐργαζόμενος σπάνει δούλων. Schol. ad Thucyd. I. 141. Agricola, qui per se et suam ipsius familiam colit terram. Tales nobis a Terentio exhibentur Menedemus, Demea, alii. Hos autem Græcè dictos αὐτουργοὺς e Dion. Halic. satis liquet, qui Cincinnatum inquit ex consulatu rediisse in suum tugurium, et vixisse, ut prius, τὸν αὐτουργὸν βίον, vitam rusticam; dein iterum ex Dictaturâ resumpsisse τὸν αὐτουργὸν αὐτοῦ ἀντὶ τοῦ βασιλικοῦ βίον, suam rusticam vitam pro regiâ. Est ergo αὐτουργὸς homo liber, verùm pauper, qui suum opus ipse facit, sed sibi, non alteri. Periz. ad Æl. V. H. 1, 31. et 12, 43.

1. ὦ γῆς παλαιὸν Ἄργος. Notandum est hoc genus compellationis per vocativum, ad quam in sequentibus non amplius respicitur. Pari modo noster in Andromachæ initio; Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις Ὅθεν ποθ'. κ. τ. λ. — Seidler.

2. χιλίαις. Sic χιλίων ναῶν στόλος dicitur Iph. T. 10. — Hom. Il. β'. naves esse dicit MCLXVI, quarum maximæ CXX portabant homines, minimæ verò L. Qui ergo mille naves dicunt, (ut Iph. A. 174, Orest. 346. Æsch. Agam. 45.) numerum majorem et rotundum ponunt pro integro. Vide Damm. voc. Ναῦς.

4. τὸν κρατοῦντ'. i. e. *qui rerum potitus est.* Sine articulo occurrit Iph. T. 1301, quod rarum puto.

Πρίαμον, ἑλών τε Δαρδάνου κλεινὴν πόλιν,
ἀφίκετ' εἰς τόδ' Ἄργος· ὑψηλῶν δ' ἐπὶ
ναῶν τέθεικε σκῦλα πλεῖστα βαρβάρων.
κἀκεῖ μὲν, εὐτύχησεν· ἐν δὲ δώμασι
θνήσκει γυναικὸς ἐκ Κλυταιμνήστρας δόλῳ,
καὶ τοῦ Θυέστου παιδὸς Αἰγίσθου χερί.
χὠ μεν παλαιὰ σκῆπτρα Ταντάλου λιπὼν,
ὄλωλεν· Αἴγισθος δὲ βασιλεύει χθονὸς,
ἄλοχον ἐκείνου Τυνδαρίδα κόρην ἔχων.
οὓς δ' ἐν δόμοισιν ἔλιφ', ὅτ' εἰς Τροίαν ἔπλει,
ἄρσενά τ' Ὀρέστην, θῆλύ τ' Ἠλέκτρας θάλος,
τὸν μὲν πατρὸς γεραιὸς ἐκκλέπτει τροφεὺς,
μέλλοντ' Ὀρέστην χερὸς ὑπ' Αἰγίσθου θανεῖν,

6. ἀφίκετ'. Hoc verbo similiter *de redeuntibus* utitur noster Hec. 964. Æsch. Pers. 15. Agam. 515. Seidler. In locis a Seidlero citatis præpositionem non habet, ut et infra 87, 111. Habet autem 95. 411.

7. ναῶν. Mos erat apud veteres, qui nunc et Christianis placet, hostium spolia in templis suspendere. "*In foribus sacris, primoque in limine templi .... Perfossi clypei, et servantia tela cruorem Claustraque portarum pendent.*" Sil. Ital. 1. Barnes. Hujus moris meminit Hom. Il. H. 82, et noster in Troad. 576. Confer et Horat. Od. I. 4, 15. III. 5, 18.

Ibid. σκῦλα. spolia, quæ hostibus *cæsis*, λάφυρα quæ *vivis* detrahuntur. Suid.

9. ἐκ. Vulgo legitur πρὸς, cujus vice ἐκ rescribi monuit Porsonus.

11. παλαιὰ σκῆπτρα. παλαιὰ scilicet, quia a Vulcano facta, et ad Jovem data; de quibus Hom. Il. β'. 101—109.

14. Elegantiores numeros ad exemplum Orest. 63. restituit Seidl.

15. θάλος. Homerica locutio, ut φίλον θάλος, Il. χ'. 87. Sic Antigone θάλος πατρὶ vocatur Phœn. 88. Pari modo Λήδας ἔρνος, Iph. A. 118. Ἄρεος ὄζον, id. 201. τέκνων βλάστημ'. Med. 1107.

Στροφίῳ τ' ἔδωκε Φωκέων εἰς γῆν τρέφειν·
ἡ δ' ἐν δόμοις ἔμεινεν Ἠλέκτρα πατρός.
ταύτην, ἐπειδὴ θαλερὸς εἶχ' ἥβης χρονός,
μνηστῆρες ᾔτουν Ἑλλάδος πρῶτοι χθονός.
δείσας δὲ, μή τῳ παῖδ' ἀριστέων τέκοι,
Ἀγαμέμνονος ποινάτορ', εἶχεν ἐν δόμοις
Αἴγισθος, οὐδ' ἥρμοζε νυμφίῳ τινί·
ἐπεὶ δὲ καὶ τοῦτ' ἦν φόβου πολλοῦ πλέον,
μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,
κτανεῖν σφε βουλεύσαντος ὠμόφρων ὅμως
μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.
εἰς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα,
παίδων δ' ἔδεισε μὴ φθονηθείη φόνῳ.
ἐκ τῶνδε δὴ τοιόνδ' ἐμηχανήσατο

18. Στροφίῳ. Hic erat pater Pyladis, uxorem habens Anaxibiam sororem germanam Agamemnonis, unde patet cur Orestes puer ad eum fuit delatus, et unde amicitia inter Pyladem et Orestem. Damm.

21. πρῶτοι *eminentiâ* scilicet, ut quandoque *primus* apud Latinos. Roscius,—ejus vicinitatis facilè *primus*. Cic. Rosc. 6.

22. παῖδ' ἀριστέων. Sic rescribi vult Pors. ad Med. 5. Edd. habent παῖδας Ἀργείων, quarum posterior vox sensui repugnat.

23. ποινάτορ'. Vulgo ποινάτορας, sed quartam sedem ab anapæsto defendit Pors. ad locum supra citatum.

24. ἥρμοζε. Pater dicitur ἁρμόζειν, sc. despondere filiam; sponsus dicitur ἁρμόζεσθαι, ut Herod. V. 32. Æl. Hist. An. xii. 31. ἡρμόσαντο τὰς θυγατέρας. Quo sensu etiam h. v. occ. Prov. xix. 14. et 2 Cor. xi. 2.

27. κτανεῖν κ. τ. λ. Ita edidi, Seidlerum secutus. Vulgo, κτανεῖν σφ' ἐβουλεύσατ' ὠμόφρων· ἡ δ' ὅμως. VV.DD. conjecturas, a librorum lectione recedentes, nihil attinet referre.

29. σκῆψιν. Hoc, quod fuit, narrat Electra v. 1062. Confer et Æsch. Agam. 1421.

Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς
Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ', ὃς ἂν κτάνῃ.
ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν
δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο
γεγῶσιν, (οὐ δὴ τοῦτό γ' ἐξελέγχομαι·
λαμπροὶ γὰρ εἰς γένος γε· χρημάτων δὲ δὴ
πένητες· ἔνθεν ηὑγένει' ἀπόλλυται·)
ὡς, ἀσθενεῖ δοὺς, ἀσθενῆ λάβοι φόβον.
εἰ γάρ νιν ἔσχεν ἀξίωμ' ἔχων ἀνὴρ,
εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος
φόνον, δίκη τ' ἂν ἦλθεν Αἰγίσθῳ τότε.
ἣν οὔποθ' ἁνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις,

32—33. Constructio est χρυσὸν εἶφ' (ἐκείνῳ) ὃς ἂν κτάνῃ (Ὀρέστην) ὃς μὲν Ἀγαμέμνονος παῖς, γῆς ἀπηλλάχθη φυγάς. Heath.—χρυσὸν εἶφ'. *Aurum promisit;* Sæpius enim Græci verba *dicendi* usurpant de pollicitationibus. Sic Herod. VI. 23. μισθὸς δέ οἱ ἦν εἰρημένος ὅδε. Sic etiam dicitur imprimis verbum ὀνομάζειν. Il. I. 515. Σ. 449.

34. δίδωσιν. Præsens pro præterito, ut sæpe apud Tragicos. Exempla sunt infra 414. Supp. 901. 986. Etiam apud Latinos, Ter. Eun. IV. 7. 23. Cum tibi *do* istam virginem, &c. ubi Donatus *do* pro *darem.*—Sim. Virg. Æn. XI. 172.—tropæa ferunt, quos *dat* tua dextera letho—*Dat* pro *dedit.*

37. λαμπροί. Subaudi ἐσμὲν, quam ellipsin primæ personæ Seidl. rariorem putat.—Conf. Juv. Sat. III. 164. *Haud facile emergunt quorum virtutibus obstat Res angusta domi.*

41. εὕδοντ'. Conferri potest Hec. 662. ὡς οὔποθ' εὕδει λυπρά σου κηρύγματα. et Supp. 1157. οὔπω κακὸν τόδ' εὕδει.

43. ἁνήρ. Vulgo ἀνήρ. Blomfieldium sequor, ἁνὴρ securè exhibentem. Similis est crasis in ἁναξ, ἅγαθος, ἅνθρωπος, et similibus. Hæc phrasis ἁνὴρ ὅδε plerumque apud Tragicos eum ipsum qui loquitur designat. Exempla sunt apud Soph. Aj. 77. 446. 833. Œd. Tyr. 542. 834. 848. 1037. 1156. 1485. Œd. Col. 676. 1394. 1542. 1689. Ant. 1046.

ᾔσχυνεν εὐνῇ· παρθένος δ' ἔτ' ἔστι δή.
αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα
λαβὼν, ὑβρίζειν, οὐ κατάξιος γεγώς.
στένω δὲ τὸν λόγοισι κηδεύοντ' ἐμοὶ
ἄθλιον Ὀρέστην, εἴποτ', εἰς Ἄργος μολὼν,
γάμους ἀδελφῆς δυστυχεῖς εἰσόψεται.
ὅστις δέ μ' εἶναί φησι μῶρον, εἰ λαβὼν
νέαν ἐς οἴκους παρθένον, μὴ θιγγάνω,
γνώμης πονηρᾶς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω, καὐτὸς αὖ τοιοῦτος ὤν.

ΗΛΕΚΤΡΑ.

ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφὲ,

Trach. 1191. 1217. Phil. 1064. 1415. His adde monente Monkio ad Alcest. 341. ejus dramatis vv. 706. 735. 1103. Vir Cl. dicit "necnon utebantur fœminæ hoc loquendi more. Æsch. Agam. 1447. Soph. Trach. 305." Quem invenies etiam apud Latinos, ut *Hunc hominem velles si tradere*, Hor. *Hunc hominem decet auro expendi*. Plaut. Bacchid.

53. ἴστω—ἀναμετρούμενος. Sensus est "is sciat se pravæ mentis regulâ continentiam æstimare, ipsumque contra talem esse" sc. qualem me dicat μῶρον. Porro, participium cum verbis aliquem animi sensum significantibus usurpari potest in nominativo casu. Vig. 6. §. 1. 16. Exempla præbet Aristoph. Acharn. 455. 459. Æsch. Prom. 849. Soph. Elect. 300. Sic etiam, "*sensit* medios *dilapsus* in hostes," Virg. Æn. II. 377. "They *knew* not *eating* death," Milt. P. L. 9, 792. Vide plura apud Egert. ad Hipp. 306.

54. ὦ νύξ. Credebant antiqui Deos tempore nocturno terras pererrare, (secundum illud Hesiodi Ἔργ. καὶ Ἡμ. 2. 348. μακάρων τοι νύκτες ἔασιν,) forte et matutino tempore, donec penitus illuxerit dies.

Ibid. τροφέ. Ex hoc emendat Tibullum Muretus V. L. l. 5. §. 11. "*Ludite, jam nox jungit equos, currumque sequuntur Matris lascivo sidera fulva choro.*" ubi *matris* pro vulgatâ *Martis* V. D. legit.

ἐν ᾗ τόδ' ἄγγος τῷδ' ἐφεδρεῦον κάρᾳ
φέρουσα, πηγὰς ποταμίας μετέρχομαι,
(οὐ δή τι χρείας εἰς τοσόνδ' ἀφιγμένη,
ἀλλ' ὡς ὕβριν δείξωμεν Αἰγίσθου θεοῖς,)
γόους τ' ἀφίημ' αἰθέρ' εἰς μέγαν πατρί.
ἡ γὰρ πανώλης Τυνδαρὶς, μήτηρ ἐμὴ,
ἐξέβαλέ μ' οἴκων, χάριτα τιθεμένη πόσει.
τεκοῦσα δ' ἄλλους παῖδας Αἰγίσθῳ πάρα,
πάρεργ' Ὀρέστην κἀμὲ ποιεῖται δόμων.
ΑΥ. τί γὰρ τάδ', ὦ δύστην', ἐμὴν μοχθεῖς χάριν,
πόνους ἔχουσα, πρόσθεν εὖ τεθραμμένη,
καὶ ταῦτ' ἐμοῦ λέγοντος, οὐκ ἀφίστασαι;
ΗΛ. ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον·
ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς.
μεγάλη δὲ θνητοῖς μοῖρα, συμφορᾶς κακῆς
ἰατρὸν εὑρεῖν, ὡς ἐγώ σε λαμβάνω.
δεῖ δή με κἀκέλευστον, εἰς ὅσον σθένω,
μόχθου 'πικουφίζουσαν, ὡς ῥᾷον φέρῃς,
ξυνεκκομίζειν σοι πόνους· ἅλις δ' ἔχεις

55. *ἄγγος*. Aquæ derivatio inter omnes vilissimum habebatur officium, ideoque Hector apud Hom. Il. Z. 457. sic uxori questus est, "*καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης.*" Vide et librum Josuæ c. ix. 27. Conf. infra v. 307.

64. *δύστην'*. Misericordiæ potius quam contemptûs vox, ut *τάλαινα* infra 218.

73. *ξυνεκκομίζειν*. Hoc verbum nostro fortasse proprium, idem valet ac "*in partem juvare*," Hor. Epod. 2. 39. Conf. Or. 678. Hipp. 469.

τἄξωθεν ἔργα· τὰν δόμοις δ' ἡμᾶς χρεὼν
ἐξευτρεπίζειν· εἰσιόντι δ' ἐργάτῃ
θύραθεν, ἡδὺ τἄνδον εὑρίσκειν καλῶς.

ΑΥ. εἴ τοι δοκεῖ σοι, στεῖχε· καὶ γὰρ οὐ πρόσω
πηγαὶ μελάθρων τῶνδ'· ἐγὼ δ', ἅμ' ἡμέρᾳ
βοῦς εἰς ἀρούρας εἰσβαλὼν, σπερῶ γύας.
ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα,
βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, σὲ γὰρ δὴ πρῶτον ἀνθρώπων ἐγὼ
πιστὸν νομίζω καὶ φίλον, ξένον τ' ἐμοί·
μόνος δ' Ὀρέστην τόνδ' ἐθαύμαζες φίλων,

74. *τὰν δομοις.* Hæc quæ fuerunt a Xenophonte explicantur in Œconomicis. *Παρασκεύασεν ὁ θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὰ μὲν τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα. ῥίγη μὲν γὰρ καὶ θάλπη, καὶ ὁδοιπορείας καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν, ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα.* Barnes.

78. *ἅμ' ἡμέρᾳ.* Ἅμα cum dandi casu tempus vel quamlibet actionem significante, eleganter conjungitur. Viger. Is vero Dativus non vi adverbii debetur, sed intellectæ præpositionis *σὺν*, cujus defectum post *ἅμα* perpetuum esse observant VV. DD. Necnon apud Latinos *simul* sæpe ponitur pro *simul cum*, ut Hor. Sat. I. 10. 85. Ovid. Trist. V. 10. 29. Tac. Ann. IV. 55. VI. 9.

80. *ἀργὸς γὰρ οὐδεὶς, κ. λ.* Ita noster Hel. 762. *οὐδεὶς ἐπλούτησ' ἐμπύροισιν, ἀργὸς ὤν.* Sic et Hor. Sat. I. 9. 59. *Nil sine magno Vita labore dedit mortalibus.*

Ibid. θεοὺς ἔχων ἀνὰ στόμα, i. e. *quantumvis Deos habeat in ore.* Seidl. Simile quiddam habet Clem. Alex. Str. VII. *οἱ τὰ μὲν λόγια τοῦ Θεοῦ ἀνὰ στόμα ἔχουσι.* Porro, monendi sunt tirones *θεοὺς* esse monosyllabon. Hanc vocem libenter Atticos in sermone contraxisse testis est Pors. ad Orest. 393.

84. *ἐθαύμαζες* hoc loco *coluisti, amavisti*, in quo sensu apud Aristoph.

πράσσονθ' ἃ πράσσω, δεὶν' ὑπ' Αἰγίσθου παθὼν,
ὅς μου κατέκτα πατέρα, χἠ πανώλεθρος
μήτηρ· ἀφῖγμαι δ' ἐκ θεοῦ μυστηρίων
Ἀργεῖον οὖδας, οὐδενὸς ξυνειδότος,
φόνον φονεῦσι πατρὸς ἀλλάξων ἐμοῦ.
νυκτὸς δὲ τῆσδε πρὸς τάφον μολὼν πατρὸς,
δάκρυά τ' ἔδωκα, καὶ κόμης ἀπηρξάμην,
πυρᾷ τ' ἐπέσφαξ' αἷμα μηλείου φόνου,
λαθων τυράννους, οἳ κρατοῦσι τῆσδε γῆς.
καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω πόδα,
δυοῖν δ' ἅμιλλαν ξυντιθεὶς, ἀφικόμην
πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ

Nub. 427. ἡμᾶς τιμῶν, καὶ θαυμάζων;—Cf. Med. 1153. et inf. 514.

87. μυστηρίων. Barnesius in textu legi vult χρηστηρίων, sed nihil opus.

91. κόμης ἀπηρξάμην. Solenne fuit sectos crines mortuis inferri. Hinc Ov. Met. 3. 6. *planxere sorores Naiades, et sectos fratri imposuere capillos*. Barnes. Conf. Hom. Il. Ψ. 135.

92. φόνου. Æsch. Sept. Th. 44. habet ταυρείου φόνου, ubi *cruorem* significat, hic vero potius *cædem*, ut in Prom. 363. συρίζων φόνον, et Act. Apost. ix. 1. ἐμπνέων ἀπειλῆς καὶ φόνου.

94. βαίνω πόδα. Verba quæ motum significant, rectè accusativum adsciscunt instrumenti aut membri quod præcipuè adhibetur. Βαίνω apud Atticos neutrale est verbum, hic tamen et infra 1168. accusativum post se habet. Imo Aristoph. Eccles. 161. ἐκκλησιάζουσ' οὐκ ἂν προβαίην τὸν πόδα. et Phœn. 1450. προβὰς δὲ κῶλον δεξίον. Hæc Porsonus ad Orest. 1437. βαίνω hic idem sonat quod βαίνειν ποιῶ, formâ Hebræis usitatissimâ. Barnes.

95. δυοῖν. Porsonum sequor, qui in Eur. δυοῖν semper edidit. Heracl. Gramm. ait τοὺς Ἀττικοὺς τὴν οι διφθογγον εις την ει μεταποιεῖν. Sed de recente Atticismo loquitur, ut benè Blomf. ad Prom. 803. Porro, sententiam verte, "*duarum rerum studium componens*." Seidler,

ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν
ζητοῦντ' ἀδελφὴν, (φασὶ γάρ νιν ἐν γάμοις
ζευχθεῖσαν οἰκεῖν, οὐδὲ παρθένον μένειν,)
ὡς ξυγγένωμαι, καὶ φόνου ξυνεργάτιν
λαβὼν, τά γ' εἴσω τειχέων σαφῶς μάθω.
νῦν οὖν, Ἕως γὰρ λευκὸν ὄμμ' ἀναίρεται,
ἔξω τρίβου τοῦδ' ἴχνος ἀλλαξώμεθα.
ἢ γάρ τις ἀροτὴρ, ἤ τις οἰκέτις γυνὴ,
φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν,
εἰ τούσδε ναίει ξύγγονος τόπους ἐμή.
ἀλλ', εἰσορῶ γὰρ τήνδε προσπόλων τινὰ,
πηγαῖον ἄχθος ἐγκεκαρμένῳ κάρᾳ
φέρουσαν, ἑζώμεσθα, κἀκπυθώμεθα
δούλης γυναικὸς, ἤν τι δεξώμεσθ' ἔπος,
ἐφ' οἷσι, Πυλάδη, τήνδ' ἀφίγμεθα χθόνα.

ΗΛ. *ξύντειν', ὥρα, ποδὸς ὁρμάν.* *στρ. ά.*
ὢ ἔμβα, ἔμβα κατακλαίουσα.

108. *πηγαῖον ἄχθος.* Vide sup. ad. v. 55, nostrasque in locum annotationes.

Ibid. *ἐγκεκαρμένῳ κάρᾳ.* Od. Ω. 46. *ἐκείροντο χαίτας,* quod in luctu magno fieri solebat. E sacris scriptoribus confer Ezek. xxvii. 31. Jerem. xlvii. 5. Mic. i. 16.

111. *ἐφ' οἷσι.* *quamobrem,* ut Phœn. 466. *ἐφ' οἷσιν ἥκει,* et Heracl. 136. *ἐφ' οἷσι δ' ἥκω.* Sæpe licet *ἐφ' οἷς* sumatur pro *ἐπὶ τοῖς,* i. e. *propter illa,* at vero a relativorum naturâ vix discedit, et refertur ad nomen vel expressum vel dissimulatum.

112. *ὥρα.* sc. *ἐστὶ,* quod in h. l. eleganter subintelligitur. Alloquitur autem Electra semet ipsam, ut in ejusdem monodiâ apud Soph. El. 86.

113. *ἔμβα, ἔμβα.* Hanc et hujusmodi verborum repetitiones sic ridet

ἰώ μοι, μοι.
ἐγενόμαν Ἀγαμέμνονος
κούρα, καί μ' ἔτεκε Κλυταιμνήστρα,
στυγνὰ Τυνδαρέου κόρα.
κικλήσκουσι δέ μ' ἀθλίαν
Ἠλέκτραν πολιῆται.
φεῦ, φεῦ, τῶν σχετλίων πόνων,
καὶ στυγερᾶς ζῶας, ὦ πάτερ.
σὺ δ' ἐν ᾅδᾳ δὴ
κεῖσαι, σᾶς ἀλόχου σφαγεὶς,
Αἰγίσθου τ', Ἀγάμεμνον.
ἴθι τὸν αὐτὸν ἔγειρε γόον, μεσῳδός
ἄναγε πολύδακρυν ἁδονάν.
* * * * * * *
ξύντειν', ὥρα, ποδὸς ὁρμάν· ἀντ. α'.
ὦ ἔμβα, ἔμβα κατακλαίουσα.
ἰώ μοι, μοι.
τίνα πόλιν, τίνα δ' οἶκον, ὦ
τλᾶμον ξύγγονε, λατρεύεις,
οἰκτρὰν ἐν θαλάμοις λιπὼν

Arist. Ran. 1396. et seqq. δάκρυα δάκρυά τ' απ' ὀμμάτων ἔβαλον ἔβαλον ἁ τλάμων. κ. λ.

123. σᾶς ἀλόχου σφαγεὶς. Subaudiendum ὑπὸ, ut in Orest. 491. πληγεὶς θυγατρὸς, i. e. ὑπὸ θ. Arist. Nub. 1083. ἢν τοῦτο νικηθῇς ἐμοῦ, i. e. υπ' ἐμοῦ. Soph. Aj. 1353. τῶν φίλων νικώμενος. i.e. ὑπὸ φ. Quod non fit nisi aliquando in passivorum constructione.

131. λατρεύεις· ἐλευθέρος ὢν δουλεύεις. Hesych. Cum acc. hoc verbum itidem junxit Noster Iph. Taur. 1122. Dativum habet in Æsch. Prom. 1004.

πατρῴοις, ἐπὶ συμφοραῖς
ἀλγίσταισιν, ἀδελφεάν;
ἔλθοις τῶνδε πόνων ἐμοὶ
τᾷ μελέᾳ λυτὴρ, ὦ Ζεῦ, Ζεῦ,
πατρὶ θ' αἱμάτων
ἐχθίστων ἐπίκουρος, Ἄρ-
γει κέλσας πόδ' ἀλάταν.
θὲς τόδε τεῦχος ἐμῆς ἀπὸ κρατὸς ἑ- στροφὴ β'.
λοῦσ', ἵνα πατρὶ γόους νυχίους
ἐπορθοβοάσω.
ἰακχὰν ἀοιδὰν, μέλος ἀΐδα,
πάτερ, σοὶ κάτω γᾶς ἐνέπω γόους,
οἷς ἀεὶ τὸ κατ' ἆμαρ
διέπομαι· κατὰ μὲν φίλαν
ὄνυχι τεμνομένα δέραν,

134. ἀδελφεάν. ἀδέλφεος nunquam apud Tragicos præterquam in choricis comparere monet Elmsleius. Excipe vero Æsch. s. c. Th. 582. ubi vel in Iambis legitur.

142. ἐπορθοβοάσω. Vox, teste Maltbeio, lexicis ignota, neque alibi occurrens. Vult Reiskius ἐπορθροβοάσω, "lamenta edam per diluculum."

145. κατ' ἆμαρ. i. e. *singulis diebus*. Vulgo κατ' ἦμαρ. Sic dedi, scriptorem in Censurâ Anglicanâ secutus (Month. Rev. T. LXXXI. p. 107.) cujus hæc sunt verba. "κατ' ἦμαρ Atticum est, et in *Iambis* occurrit Eur. Hec. 628. Troades 396. Soph. Elect. 259. Aj. 753. at vero κατ' ἆμαρ in sequentibus *choricis* Eur. Bacch. 910. Ion. 124. Elect. 145. 183. Soph. Œd. Col. 682. Phil. 798. 1089. legendum puto."

147. τεμνομένα. Varro dicit mulieres in exequiis et luctu ideo solitas ora lacerare, ut sanguine ostenso inferis satisfaciant. Exempla occurrunt Eur. Or. 950. τιθεῖσα λευκὸν ὄνυχα διὰ παρῄδων. Æsch. Chœph.

χέρα τε κρᾶτ' ἐπὶ κούριμον
τιθεμένα θανάτῳ σῷ.
ἒ, ἕ· δρύπτε κάρα. μεσῳδός.
οἷα δέ τις κύκνος ἀχέτας
ποταμίοις παρὰ χεύμασι
πατέρα φίλτατον καλεῖ,
ὀλόμενον δολίοις βρόχων
ἕρκεσιν· ὡς σὲ τὸν ἄθλιον
πατέρ' ἐγὼ κατακλαίομαι,
λουτρὰ πανύσταθ' ὑδρανάμενον χροῒ, ἀντ. β'.
κοίτᾳ ἐν οἰκτροτάτᾳ θανάτου.
ἰώ μοι, ἰώ μοι·
πικρᾶς πελέκεως τομᾶς σᾶς, πάτερ,
πικρᾶς δ' ἐκ Τροίας ὁδοῦ βουλᾶς.

23. Eur. Hel. 378. Vid. et Tib. El. I. 1. 68. et Claud. de raptu Proserpinæ 425.

148. ἐπὶ κούριμον. Vulgo ἀποκούριμον. Barnesium sequor, qui comparat Hel. 377. ubi dicit V. D. morem fuisse antiquis ubi dolebant, capiti manus imponere, ut 2 Samuel xiii. 19. q. v. Vide et inf. 516. Præterea, κούριμον hic *passivè* sumitur, ut Æsch. Chœph. 178. Agath. in Thyest. ap. Athen. XII. 6; aliquando *activè*, ut Eur. Or. 955.

151. κύκνος ἀχέτας. id. ac κύκνος μελῳδὸς Iph. T. 1104. Fama est vulgaris, cygnum sub morte εὐφωνότατον esse. Æl. Var. Hist. inquit, ἐγὼ δὲ ᾄδοντος κύκνου ἤκουσα. Vide et Call. H. in Del. 249. Lucr. 4. 181.

157. λουτρὰ πανύσταθ'. Eædem voces reperiuntur in Orest. 361. Hec. 615. Notent tirones, adjectivum πας neutro genere per compositionem nomini vel verbo adhærens, superlativi vim habere, ut πάνσοφος, πάγκαλος, παμμίαρος κ. λ. Herman. Λουτρὰ pro λουτρὸν, Synecdoche numeri non inusitatâ, cujus exempla sunt supra v. 98. γάμοις, infra v. 164. ξίφεσι. 199. σφαγιασμῶν. Hel. 153. φοναῖσιν. 559.

οὐ μίτραισι γυνή σ' ἐ-
δέξατ', οὐδ' ἐπὶ στεφάνοις,
ξίφεσι δ' ἀμφιτόμοις λυγρὰν
Αἰγίσθου λώβαν θεμένα,
δόλιον ἔσχεν ἀκοίταν.

ΧΟΡΟΣ.

Ἀγαμέμνονος ὦ κόρα, στρ. γ'.
ἤλυθον, Ἠλέκτρα, ποτὶ σὰν ἀγροτέιραν αὐλάν.
ἔμολέ τις, ἔμολεν γαλακτοπότας ἀνὴρ
Μυκηναῖος, ορειβάτας·
ἀγγέλλει δ', ὅτι νῦν τριταί-
αν καρύσσουσιν θυσίαν
Ἀργεῖοι· πᾶσαι δὲ παρ' Ἥ-
ραν μέλλουσι παρθενικαὶ στείχειν.
ΗΛ. οὐκ ἐπ' ἀγλαΐαις, φίλαι, στροφὴ δ'.
θυμὸν, οὐδ' ἐπὶ χρυσέοις

τυράννοις. Med. 823. δεσπόταις. κ.λ.

173. παρ' Ἥραν, i. e. πρὸς Ἥρας ναόν Ex hoc, et v. 669, constat Junonem apud Argivos summâ reverentiâ habitam esse, quod et confirmat Hor. Od. I. 7. 11.

174. παρθενικαὶ. i. e. παρθένοι, subaudito κόραι, ut Theocr. Idyll. xviii. 2. Hom. Il. Σ. 567. Od. Λ. 39. Hymn. 30. 14. quæ citat Seidlerus. His addi possunt Hom. Od. H. 20. παρθενικῇ εἰκυῖα νεήνιδι. Dion. Perieges. 843.

175. αγλαΐαις. *vestium splendore.* quam significationem habere videtur Od. XIX. 81. τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, απὸ πασαν ὀλέσσῃς Αγλαΐην. Hesychius αγλαΐαις plurali numero exponit *delicias*, *ornamenta.* Vox ut hic, cum χοροῖς jungitur ap. Hes. Scut. 272. ἀγλαΐαις τε χοροῖς τε τέρψιν ἔχον. et paulo post ad v. 285.

ὅρμοις ἐκπεπόταμαι
τάλαιν', οὐδὲ στᾶσα χοροὺς
Ἀργείαις ἅμα νύμφαις,
ἑλικτὸν κρούσω πόδ' ἐμόν.
δάκρυσι χορεύω, δακρύων δέ μοι μέλει
δειλαίᾳ τὸ κατ' ἆμαρ.
σκέψαι μου πιναρὰν κόμαν,
καὶ τρύχη τάδ' ἐμῶν πέπλων,

177. ὅρμοις. ὁ γυναικεῖος περιτραχήλιος κόσμος, παρὰ τό ἕρμα, ὅ ἐστὶν ἀσφάλισμα. Sch. ad Aristoph. Lysist. 409. Monile igitur est, gemmas habens diversas, ordine tamen certo alternoque eâdem lineâ sibi junctas. Lucian. de Salt. 12. ὁ δὲ ὅρμος, inquit, ὄρχησις ἐστί κοινὴ ἐφήβων τε καὶ παρθένων, παρ' ἕνα χορευόντων, καὶ ὡς ἀληθῶς ὅρμῳ ἐοικότων. Unde diu dubitavi, utrum χρυσέοις ὅρμοις ad hanc saltationis speciem referri poterat, necne. Quod ad epith. χρυσέοις attinet, generale nomen est formositatis et præstantiæ. χρυσέας νίκης occurrit Pind. Isth. 2. 39. χρύσεον ὕμνον Anacr. Fr. 44. De re, forsan haud dubiâ, peritiores judicent.

Ibid. ἐκπεπόταμαι. i. e. *gaudio præter modum efferor*, quo sensu verbum simplex ap. Aristoph. Nub. 318. et Av. 1445. Seidl. Ita Theocr. Idyll. β. 19. πᾶ τὰς φρένας ἐκπεπότασαι, ubi vero de *timore* potius accipi debet.

178. στᾶσα χορούς. χοροῖς. Seidl. Sed nihil opus, cum vulgatam lectionem satis defendit Call. Hymn. in Dian. 241. στησάμενοι χορὸν, et Eur. Iph. Aul. 676. στήσομεν—χορούς. "Ubi obiter monenda est differentia inter τὸ ὀρχεῖσθαι et τὸ χορεύειν, quam minus rectè notavit Steph. in Thes. Nam ὀρχεῖσθαι quamlibet saltationem quæ fit *in numerum et cum arte quâdam* comprehendit; χορεύειν vero in *orbem saltare* significat, veluti circa aram, &c. manibus connexis." L. Kuster.

180. ποδ' εμον. Vulgatam πόλεμον rejicit Seidl. et meritò. Cum enim inter se parum discrepant Δ et Λ, talis error in textum facillimè recipi potuerit.—ἑλίξεις πόδα occ. Or. 172.

181. χορεύω. Vulgo χεύω. Sic edidi monente Porsono, ne metrum ruat.

184. τρύχη. Poetam vel ipsos reges, (Telephum, Oineum, Thyesten,) in scenâ ut mendicos introdu-

εἰ πρέποντ' Ἀγαμέμνονος
κούρᾳ τᾷ βασιλείᾳ,
τᾷ Τροίᾳ θ', ἅ μου πατέρος
μέμναταί ποθ' ἀλοῦσα.
ΧΟ. μεγάλα θεός· ἀλλ' ἴθι, αντ. γ'.
καὶ παρ' ἐμοῦ χρῆσαι πολύπηνα φάρεα δῦναι,
χρύσεά τε χάρισαι προσθήματ' ἀγλαΐας.
δοκεῖς τοῖς σοῖσιν δακρύοις,
μὴ τιμῶσα θεοὺς, κρατή-
σειν ἐχθρῶν; οὔτοι στοναχαῖς,
ἀλλ' εὐχαῖσι θεοὺς σεβί-
ζουσ', ἕξεις εὐαμερίαν, ὦ παῖ.
ΗΛ. οὐδεὶς θεῶν ἐνοπᾶς κλύει ἀντιστ. δ'.
τᾶς δυσδαίμονος, οὐ παλαι-
ῶν πατρὸς σφαγιασμῶν.
οἴμοι τοῦ καταφθιμένου,

centem miro sale perfundit Aristoph. Achar. 411. et seqq.—τρύχη tragicè pro ῥάκη. Vide infra 302. 496.

189. θέος. Musgr. rectè hic Junonem intelligit, ut patet e v. 173. Hoc enim verbum communi genere sæpe sumitur, ut Eur. Tr. 948. τὴν θεὸν sc. *Venerem*. τῆς θεοῦ Hel. 659. sc. *Junonis*, et Demosth. Orat. de Cor. Θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. Nunquam vero, ut bene Monk. ad Hipp. 55, θεὸς cum ipso Divæ nomine conjungitur. Hanc loquendi rationem imitatur Virg. Æn. 2. 632. Ducente Deo sc. *Venere*, et Lucan. 2. 80. terribilesque Deos i. e. *Furias*. Vox μεγάλα majestatem sonat reverentiâ mixtam, ut ap. Æsch. Pers. 727. μέγας τὶς ἦλθε δαίμων.

191. χρύσεα. Morem fuisse apud veteres virginibus plurimum auri gestare notat Pors. ad Hec. 150. Homerum citans Il. B. 872. Arist. Av. 671. Lycoph. ap. Athen. XIII. p. 564. ubi παρθένοι vocantur χρυσοφόροι.

τοῦ τε ζῶντος ἀλάτα,
ὅς που γᾶν ἄλλαν κατέχει
μέλεος, ἀλαίνων ποτὶ θῆσσαν ἑστίαν,
τοῦ κλεινοῦ πατρὸς ἐκφύς.
αὐτὰ δ᾽ ἐν χέρνησι δόμοις
ναίω ψυχὰν τακομένα,
δωμάτων πατρῴων φυγὰς,
οὐρείας ἀν᾽ ἐρίπνας.
μάτηρ δ᾽ ἐν λέκτροις φονίοις
ἄλλῳ ξύγγαμος οἰκεῖ.

ΧΟ. πολλῶν κακῶν Ἕλλησιν αἰτίαν ἔχει
σῆς μητρὸς Ἑλένη ξύγγονος, δόμοις τε σοῖς.

ΗΛ. οἴμοι, γυναῖκες, ἐξέβην θρηνημάτων.
ξένοι τινὲς παρ᾽ οἶκον οἵδ᾽, ἐφεστίους
εὐνὰς ἔχοντες, ἐξανίστανται λόχου·
φυγῇ, σὺ μὲν κατ᾽ οἶμον, εἰς δόμους δ᾽ ἐγὼ,
φῶτας κακούργους ἐξαλύξωμεν ποδί.

ΟΡ. μέν᾽, ὦ τάλαινα· μὴ τρέσῃς ἐμὴν χέρα.

ΗΛ. ὦ Φοῖβ᾽ Ἄπολλον, προσπιτνῶ σὲ μὴ θανεῖν.

ΟΡ. ἄλλους κτάνοιμ᾽ ἂν μᾶλλον ἐχθίους σέθεν.

203. Θῆσσαν. μισθωτικὴν, ἢ εὐτελῆ, ἢ δουλικὴν τροφήν. Suid. Verte, *ad servilem larem*, i. e. ubi servit alicui. Cum Respublica Atheniensium in quatuor classes civium divisa erat, qui inter eos pauperiores erant, θῆτες appellabantur, et neque ad magistratus admitti, nec inter milites inscribi poterant.

220. μᾶλλον. Solet h. v. addi comparativis, non vero *altiorem* rei gradum sive *majorem* ejus vim demonstrans, sed tantum significans *vere* altiorem sive majorem esse,

ΗΛ. ἄπελθε· μὴ ψαῦ', ὧν σὲ μὴ ψαύειν χρεών.
ΟΡ. οὐκ ἔσθ' ὅτου θίγοιμ' ἂν ἐνδικώτερον.
ΗΛ. καὶ πῶς ξιφήρης πρὸς δόμοις λοχᾷς ἐμοῖς;
ΟΡ. μείνασ' ἄκουσον, καὶ τάχ' οὐκ ἄλλως ἐρεῖς.
ΗΛ. ἕστηκα· πάντως δ' εἰμὶ σή· κρείσσων γὰρ εἶ.
ΟΡ. ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.
ΗΛ. ὦ φίλτατ', ἆρα ζῶντος, ἢ τεθνηκότος;
ΟΡ. ζῇ· πρῶτα γάρ σοι τἀγαθ' ἀγγέλλειν θέλω.

idque probe esse tenendum; nam ad *altius* tollendam rem additur comparativis ἔτι et πολλῷ. Hæc Weiskius. Hujus formæ exempla sunt Æsch. s. c. Theb. 679. μᾶλλον ἐνδικώτερος, Eur. Hec. 377. μᾶλλον εὐτυχέστερος. Arist. Ecc. 1123. μᾶλλον ὀλβιώτερος. Eadem quoque constructio occurrit apud veteres Latinos, ut *mollior magis*, Plaut. Aulul. III. 2. 8. *amiciorem magis* Bacch. III. 4. 1.

Ibid. ἐχθίους. Comparativa in ιων desinentia, apud Ionicæ et Doricæ dialectorum scriptores penultimam corripiunt, apud Atticos vero producunt. Hanc Dawesii regulam diu disputatam, exemplis confirmavit Burneius, (Monthly Rev. N. S. Tom. XXVIII. p. 434.)

224. οὐκ ἄλλως ἐρεῖς. scil. ἢ ἐγώ, *et statim mecum consenties.* Respicit ad ea, quæ modo dixerat v. 222. Seidler.

225. ἕστηκα. Præteritum aliquando in loco præsentis usurpatum, significationem habet intensiorem quam si simplex præsens adhiberetur. Exempla sunt πεφόβημαι pro φοβοῦμαι Thucyd. I. 144. δέδοικα pro δείδω Theogn. 38. δέδορκα pro δέρκω infra v. 337, et multa alia, quæ lectori sese obviam dabunt.

226. ἥκω φέρων, i. e. ἔνεγκα. Verbum ἥκω cum participio præsentis apud Atticos præteriti vim habet. Inter exempla cuique inter legendum obvia notes e nostro, Or. 86. Med. 932. Hec. 1. ubi Schol. οἱ Ἀττικοὶ, ait, ἀντὶ τοῦ εἰπεῖν ἧκον, "ἥκω" λέγουσιν. ῥέπει δὲ τοῦτο πρὸς τὸ παραληλυθὸς, καθόσον τὸ "εἶμι" πρὸς τὸ μέλλον.

227. ἆρα. Differentium inter ἆρα et ἄρα sic notent Tirones. Apud Poetas epicos et prosæ orationis scriptores, ἆρα in interrogatione adhibetur; apud cæteros autem poetas, maximè apud scenicos, ἄρα scribitur, si prior syllaba brevis est, ἆρα si longa; sive interrogationi hæ voces inserviunt, sive significant *igitur*. Herm.

ΗΛ. εὐδαιμονοίης· μισθὸν ἡδίστων λόγων.
ΟΡ. κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.
ΗΛ. ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχων;
ΟΡ. οὐχ ἕνα νομίζων φθείρεται πόλεως νόμον.
ΗΛ. ἤ που σπανίζων τοῦ καθ' ἡμέραν βίου;
ΟΡ. ἔχει μέν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.
ΗΛ. λόγον δὲ δὴ τίν' ἦλθες ἐκ κείνου φέρων;
ΟΡ. εἰ ζῇς, ὅπου τε ζῶσα συμφορὰς ἔχεις.
ΗΛ. οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.
ΟΡ. λύπαις τε συντέτηκας, ὥστέ με στένειν.
ΗΛ. καὶ κρᾶτα, πλόκαμόν τ' ἐσκυθισμένον ξυρῷ.
ΟΡ. δάκνει σ' ἀδελφὸς, ὅ τε θανὼν ἴσως πατήρ;

229. ἐυδαιμονοίης. Sic versum hunc distinguit Monk. ad Alcest. 7. qui et alia hujusmodi constructionis exempla attulit, Orest. 1103. Phœn. 351. Andr. 291. ubi nempe ipsam quæ præcedit sententiam accusativus respicit. Vel subaudiri potest ἔχων, quod in proximo versu exprimitur.

231. Citantur hi versus a Dion. Chrysost. Orat. XIII. qui ἔχει pro ἔχων, τόπον pro νόμον, σπανίζει pro σπανίζων, ἀσθενῆ δ' ἅτε denique pro ἀσθενὴς δὲ δὴ legere videbatur.

232. φθείρεται. πλανᾶται, ἀπόλλυται. Phavor.—Abresch. ad Æsch. Pers. 450. inter alia citans Œd. T. 1515. hunc versum in sensu *palandi* accipit. Rectius vero meâ sententiâ Butlerus ad s. c. Theb. 679. qui non tam *palandi* quam *male rem gerendi* notionem inesse putat.

233. Atticis familiare erat verbum σπανίζειν et σπανίζεσθαι indigendi sensu accipere. Exempla sunt Æsch. Choeph. 715. Eur. Med. 882. 960.

Ibid. καθ' ἡμέραν. Ita Iocastæ interroganti in Phœn. 403. πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον; Polynices respondet, ποτὲ μὲν "ἐπ' ἦμαρ" εἶχον, εἶτ' οὐκ εἶχον ἄν.

239. ἐσκυθισμένον. i. e. *tonsum*, Scytharum more, quod in luctu magno fieri solitum testis est noster in Alc. 439. Phœn. 386. Κρᾶτ' ἀπεσκυθισμένην occurrit Troad. 1026. Sic et Hel. 1240. ἔταμες βοστρύχοις ξανθῆς κόμης. Vide sup. ad v. 108.

240. δάκνει. Vox de gravissimis usurpata malis. Τὸ δεδηγμένον τῆς ψύχης occurrit Heliod. Æth. VII. 8.—Et ψύχη δηχθεῖσα κακοῖσιν.

ΗΛ. οἴμοι· τί γάρ μοι τῶνδέ γ' ἔστι φίλτερον;
ΟΡ. φεῦ, φεῦ· τί δ' αὖ σὺ σῷ κασιγνήτῳ δοκεῖς;
ΗΛ. ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.
ΟΡ. ἐκ τοῦ δὲ ναίεις ἐνθάδ' ἄστεως ἑκάς;
ΗΛ. ἐγημάμεσθ', ὦ ξεῖνε, θανάσιμον γάμον,
ΟΡ. ᾤμωξ' ἀδελφὸν σόν. Μυκηναίων τινί;
ΗΛ. οὐχ ᾧ πατήρ μ' ἤλπιζεν ἐκδώσειν ποτέ.
ΟΡ. εἴφ', ὡς ἀκούσας σῷ κασιγνήτῳ λέγω.
ΗΛ. ἐν τοῖσδ' ἐκείνου τηλορὸς ναίω δόμοις.
ΟΡ. σκαφεύς τις, ἢ βουφορβὸς ἄξιος δόμων·
ΗΛ. πένης ἀνὴρ γενναῖος, εἴς τ' ἔμ' εὐσεβής.
ΟΡ. ἡ δ' εὐσέβεια τίς πρόσεστι σῷ πόσει;

Med. 109. Ita Hor. Od. II. 11. 18. *curas* vocat *edaces*.

242. τί δ' αὖ. Sic dedi, probante Seidlero. Vulgo τί δαὶ, quam particulam Brunckius, assentiente Pors. ad Med. 1008. e tragicis eliminandam censet.

244. ἐκ τοῦ. sc. πράγματος, *quare*, ut noster Hel. 92. Phœn. 936. ubi Schol. habet ἐκ τοῦ· ἀπὸ ποίας αἰτίας. Markland.

246. ᾤμωξ'. Aoristorum quæ pro *præsenti* adhibentur, ratio est duplex; prior, quâ fieri aliquid *solere* indicatur, altera, quâ præteritum *verè* indicatur, sed ita, ut vix aliâ linguâ possit exprimi. Hoc apud tragicos frequentissimum est. Herm.

247. ᾧ. Ita legitur in duobus MSStis a Musgravio citatis. Vulgo ὡς. Castorem intelligit, de quo apertius loquitur infra v. 310.

250. Post δόμων bene Reiskius interrogandi signum delevit, hunc locum ita explicans; *quantum conjicere licet ex ædium specie, necesse est ut eas incolat agri fossor aut bubulcus*. Seidlerus.

251. πένης. Differentiam inter πένης et πτώχος ita notat Aristoph. Plut. 552. πτωχοῦ βίος—ζῆν ἐστιν μηδὲν ἔχοντα· τοῦ δὲ πένητος, ζῆν φειδόμενον. Πένια, modica indigentia, cum quis labore victum sibi quærit, at πτωχεία rerum omnium inopia est, et de mendicis dicitur. Suid.

ΗΛ. οὐ πώποτ' εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.
ΟΡ. ἅγνευμ' ἔχων τί θεῖον, ἤ σ' ἀναξιῶν;
ΗΛ. γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.
ΟΡ. καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;
ΗΛ. οὐ κύριον τὸν δόντα μ' ἡγεῖται, ξένε.
ΟΡ. ξυνῆκ'· Ὀρέστη μή ποτ' ἐκτίσῃ δίκην.
ΗΛ. τοῦτ' αὐτὸ ταρβῶν, πρὸς δὲ καὶ σώφρων ἔφυ.
ΟΡ. φεῦ. γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε δραστέον.
ΗΛ. εἰ δή ποθ' ἥξει γ' εἰς δόμους, ὁ νῦν ἀπών.
ΟΡ. μήτηρ δέ σ' ἡ τεκοῦσα ταῦτ' ἠνέσχετο;
ΗΛ. γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων φίλαι.
ΟΡ. τίνος δέ σ' οὕνεχ' ὕβρισ' Αἴγισθος τάδε;
ΗΛ. τεκεῖν μ' ἐβούλετ' ἀσθενῆ, τοιῷδε δούς.
ΟΡ. ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;
ΗΛ. τοιαῦτ' ἐβούλευσ', ὧν ἐμοὶ δοίη δίκην.
ΟΡ. οἶδεν δέ σ' οὖσαν παρθένον μητρὸς πόσις;
ΗΛ. οὐκ οἶδε· σιγῇ τοῦθ' ὑφαιρούμεσθά νιν.

253. εὐνῆς. Hic pro personâ accipitur, ut in Hipp. 898. Eodem sensu occurrit verbum θιγεῖν ap. Plut. vit. Alex. οὔδε τουτῶν ἔθιγεν. Idem significat ψαύειν γάμων Hipp. 14. εὐνῆς ἀψάσθαι Phœn. 960. γυναικὸς ἅπτεσθαι. 1 Cor. vii. 1. Necnon apud Latinos Hor. Od. I. VII. 5. Pallada vocat *intactam*. Sic et Virg. Æn. I. 345. et Terent. Hec. I. 2. 61. Eundem senarium leviter mutatum observavit Valckn. in Hipp. 898.

258. ξυνῆκ'. Vide supra v. 246.

Ibid. ἐκτίσῃ δίκην. *Ne pœnas luat.* Σὺν θεῷ τίσει δίκην. Med. 807. De quantitate voc. ἐκτίσῃ vid. Clark. ad Il. O. 116.

260. φευ; Extra metrum, ut infra 280. 365. 969. Simili modo, ἔα. infra 553. 747.

262. ἠνέσχετο. Duplex aliquando argumentum admisere Attici, ut in ἠνεσχόμην, ἀνεσχόμην, quorum utrumque tragicis familiare monet Pors. Præf. Hec.

ΟΡ. αἵδ' οὖν φίλαι σοι τούσδ' ἀκούουσιν λόγους;
ΗΛ. ὥστε στέγειν γε τἀμὰ καὶ σ' ἔπη καλῶς.
ΟΡ. τί δῆτ' Ὀρέστης, πρὸς τόδ' Ἄργος ἢν μόλῃ;
ΗΛ. ἤρου τόδ'; αἰσχρόν γ' εἶπας· οὐ γὰρ νῦν ἀκμή;
ΟΡ. ἐλθὼν δὲ δὴ πῶς φονέας ἂν κτάνοι πατρός;
ΗΛ. τολμῶν, ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατήρ.
ΟΡ. ἦ καὶ μετ' αὐτοῦ μητέρ' ἂν τλαίης κτανεῖν;
ΗΛ. ταυτῷ γε πελέκει, τῷ πατὴρ ἀπώλετο.
ΟΡ. λέγω τάδ' αὐτῷ, καὶ βέβαια τἀπό σου;
ΗΛ. θάνοιμι, μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς.
ΟΡ. φεῦ. εἴθ' ἦν Ὀρέστης πλησίον κλύων τάδε.
ΗΛ. ἀλλ', ὦ ξέν', οὐ γνοίην ἄν, εἰσιδοῦσά νιν.
ΟΡ. νέα γάρ, οὐδὲν θαῦμ', ἀπεζεύχθης νέου.
ΗΛ. εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.
ΟΡ. ἆρ' ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;
ΗΛ. πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.
ΟΡ. ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;

270. Ad φίλαι σοι intellige οὖσαι. Confert Seidlerus Soph. Electr. 1203.

273. Post ἀκμὴ cum Heathio et Seidlero interrogationis notam posui, quorum posterior ita interpretatur. *Hoccine tu interrogabas? Turpis profecto est talis interrogatio. Nonne summum jam res nacta est fastigium*, i. e. nonne tanta jam sunt matris meæ et Ægisthi flagitia, ut ultra progredi non possunt?

275. ἐτολμήθη. Verte, *audaciâ passus est*. Anglicè *was dared against*, i. e. suffered by the daring of his enemies.

277. πελέκει. Idem instrumentum memorat Soph. in Electr. v. 99.

279. επισφάξασ'. i. e. θύσασα, quo sensu supra accipitur v. 92.

ΗΛ. ἔκυρσεν, ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.
ΟΡ. οἴμοι τόδ᾽ οἷον εἶπας· αἴσθησις γὰρ οὖν
κἀκ τῶν θυραίων πημάτων δάκνει βροτούς.
λέξον δ᾽, ἵν᾽ εἰδὼς σῷ κασιγνήτῳ φέρω
λόγους ἀτερπεῖς, ἀλλ᾽ ἀναγκαίους, κλύειν·
ἔνεστι δ᾽ οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ᾽ ἀνδρῶν· καὶ γὰρ οὐδ᾽ ἀζήμιον,
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.
ΧΟ. κἀγὼ τὸν αὐτὸν τῷδ᾽ ἔρον ψυχῆς ἔχω·
πρόσω γὰρ ἄστεος οὖσα, τὰν πόλει κακὰ
οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.
ΗΛ. λέγοιμ᾽ ἄν, εἰ χρή· χρὴ δὲ πρὸς φίλον λέγειν

287. *ἔκυρσεν.* Loquendi ratio apud Atticos frequentissima, cujus nonnulla sunt exempla Æsch. Agam. 1259. *πράξασαν ὡς ἔπραξε.* Eur. Troad. 627. *ὄλωλεν, ὡς ὄλ.* Med. 859. *ἐσμὲν οἷον ἐσμὲν,* et 1101. *ἤγγειλας οἷ ἤγ.* Soph. Œd. Col. 277. *ἱκόμην ἵν᾽ ἱκ,* et 336. *εἰσ᾽ οὗπερ εἰσι.* Fr. in Troilo. *Ἔγημεν, ὡς ἔγημεν.* Hujusmodi formulis, teste Abreschio, utuntur Græci quoties aliquidpiam non admodum probantes, palam reprehendere nolunt. Ænigmatica quoque est loquendi formula, de quâ vide infra ad v. 1117. 1136.

289. *θυραίων.* Simile quiddam huic loco habet noster in Supp. 778. *τι δ᾽ αἰσχρὸν ἀνθρώποισι τ᾽ ἀλλήλων κακά;*

292. *ἔνεστι.* Hanc sententiam, de Stoicis intellectam, ita vertit Grot. ad Stobæum. "*Non vilis animi motus est miserescere, Sed mentis altum providæ; noxa imminet, Cum sapere sese qui putant, sapiunt nimis.*" In versu proximo restituit Musgravius *καὶ γὰρ οὐδ᾽* ex Stobæo III. p. 38. Vulgo legitur *οὐ γὰρ οὐδ᾽.*

296. *ἄστεος.* Spondæus, ut ait Pors. ad Or. 393. Quod non fit nisi in vocali *ε.* Sic apud Soph. Trach. 186. *ἄγοντ᾽ ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.*—Quæ contractio et frequens est apud Latinos. *Aureâ percussum virgâ.* Æn. I. 702. *Uno eodemque igni.* Ecl. VIII. 80. *a flumine rejice capellas.* Ecl. III. 96. Nota etiam differentiam inter *ἀστὺ* et *πόλις,* quorum prior *urbem,* posterior *civitatem* designat.

τύχας βαρείας τὰς ἐμὰς, κἀμοῦ πατρός.
ἐπεὶ δὲ κινεῖς μῦθον, ἱκετεύω, ξένε,
ἄγγελλ' Ὀρέστῃ τἀμὰ καὶ κείνου κακά.
πρῶτον μὲν οἵοις ἐν πέπλοις αὐλίζομαι,
πίνῳ θ' ὅσῳ βέβριθ', ὑπὸ στέγαισί τε
οἵαισι ναίω, βασιλικῶν ἐκ δωμάτων.
αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους,
ἢ γυμνὸν ἕξω σῶμα, καὶ στερήσομαι.
αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη,
ἀνέορτος ἱερῶν, καὶ χορῶν τητωμένη
ἀναίνομαι γυναῖκας, οὖσα παρθένος·
ἀναίνομαι δὲ Κάστορ', ᾧ, πρὶν εἰς θεοὺς
ἐλθεῖν, ἔμ' ἐμνήστευον, οὖσαν ἐγγενῆ.
μήτηρ δ' ἐμὴ Φρυγίοισιν ἐν σκυλεύμασιν
θρόνῳ κάθηται, πρὸς δ' ἕδρας Ἀσιήτιδες
δμωαὶ στατίζουσ', ἃς ἔπερσ' ἐμὸς πατὴρ,

300. κινεῖς μῦθον. Sic Latine dicitur "*Movere opus.*" Hanc phrasin ridet Aristoph. Nub. 1399. καινῶν ἐπῶν κινητὰ.

302. αὐλίζομαι—μένω, ἐνδιατρίβω. Phavorinus. Sententiam verte, "*quibus vestibus induta commoror.*"

306. γυμνόν. i. e. sine pallio vel togâ. Simili modo vox *nudus* apud Latinos de vestito homine usurpatur, cui vestis exterior tantum deest. Sic Virg. *Nudus* ara, sere *nudus*. Confer Herc. Fur. 959. γυμνὸν σῶμα θεὶς πορπαμάτων.

Ibid. στερήσομαι. De hujusmodi futuris accuratè disseruit Monk. ad Hipp. 1458. quem vide.

308. ἀνέορτος ἱερῶν. Pleonasmus apud Tragicos usitatissimus, cujus exempla sunt Hel. 531. ἄφιλος φίλων. Andr. 612. παίδων ἄπαιδες. Soph. Elect. 1002. Ἄλυπος ἄτης. Porro, ἱερῶν vel scribi vel pronuntiari debet ἱρῶν, ut Iph. Taur. 1101.

312. De Anapæstis in hoc et in sequenti versu tertiam et quintam sedem obtinentibus Porsonum consulas in Præf. ad Hec. p. 23.

314. στατίζουσ'. στάσιν ἔχουσι.

Ἰδαῖα φάρη χρυσέαις ἐζευγμέναι
πόρπαισιν· αἷμα δ' ἔτι πατρὸς κατὰ στέγας
μέλαν σέσηπεν· ὃς δ' ἐκεῖνον ἔκτανεν,
εἰς ταὐτὰ βαίνων ἅρματ' ἐκφοιτᾷ πατρί·
καὶ σκῆπτρ', ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει,
μιαιφόνοισι χερσὶ γαυροῦται λαβών.
Ἀγαμέμνονος δὲ τύμβος ἠτιμασμένος,
οὔπω χοάς ποτ', οὐδὲ κλῶνα μυρσίνης
ἔλαβε· πυρὰ δὲ χέρσος ἀγλαϊσμάτων.
μέθῃ δὲ βρεχθεὶς τῆς ἐμῆς μητρὸς πόσις
ὁ κλεινὸς, ὡς λέγουσιν, ἐνθρώσκει τάφῳ,
πέτροις τε λεύει μνῆμα λάϊνον πατρὸς,

Phavor. Eandem ferè habet significationem ac αὐλίζομαι. v. 302.

Ibid. ἔπερσ'. πέρθω et πόρθω plerumque de *urbibus*, aliquando de *personis* dicuntur, ut πέρσας Ἀχαιούς Rhes. 459. κόρας πορθουμένας. Phœn. 567.

315. φάρη. Hæc vox primam apud Homerum *semper* producit, apud Tragicos *plerumque* corripit. Hic vero, et in Æsch. Choeph. 9. poeticâ, uti videtur, licentiâ producitur.

319. ἐν. Eleganter pro σύν, cujus exempla videas Prom. 432. βρέμων ἐν αἰχμαῖς. Alcest. 788. ἐν κακοῖς. Suppl. 603. ἐν δορί. Ita infra 697. εὐαρμόστοις ἐν καλάμοις.

322. οὔπω. Vulgo οὐ πώποτ', οὐ χοάς. Seidlerum sequor, probante Thierschio, cujus emendationi Porsonus in Adversariis astipulatur. Myrtum in mortuorum inferiis adhibitam esse docet Spanhem. ad Call. p. 315. Vide et Alcest. 173.

323. χέρσος. Proprie adjectivum, ut hic, et Œd. Tyr. 1501. Verte, *inferiarum expers*, earum scilicet quæ in mortuorum honorem fieri solebant.

325. κλεινός. Ironicè dictum, ut et infra 771. Eodem sensu *bonus imperator* dicitur apud Livium Hist. XXI. 10.

Ibid. ἐνθρώσκει. Sic Hom. Il. Δ. 177. τύμβῳ ἐπιθρώσκων. "*Dum Priami Paridisque busto* Insultet *armentum*," Hor. Od. III. 3. 41.

καὶ τοῦτο τολμᾷ τοὔπος εἰς ἡμᾶς λέγειν·
ποῦ παῖς Ὀρέστης; ἆρά σοι τύμβῳ καλῶς
παρὼν ἀμύνει; ταῦτ᾽ ἀπὼν ὑβρίζεται.
ἀλλ᾽, ὦ ξέν᾽, ἱκετεύω σ᾽, ἀπάγγειλον τάδε.
πολλοὶ δ᾽ ἐπιστέλλουσιν, ἑρμηνεὺς δ᾽ ἐγὼ,
αἱ χεῖρες, ἡ γλῶσσ᾽, ἡ ταλαίπωρός τε φρὴν,
κάρα τ᾽ ἐμὸν ξυρῆκες, ὅ τ᾽ ἐκεῖνον τεκών.
αἰσχρὸν γὰρ, εἰ πατὴρ μὲν ἐξεῖλεν Φρύγας,
ὁ δ᾽ ἄνδρ᾽ ἕν᾽, εἷς ὢν, οὐ δυνήσεται κτανεῖν,
νέος πεφυκὼς, κἀξ ἀμείνονος πατρός.

ΧΟ. καὶ μὴν δέδορκα τόνδε, σὸν λέγω πόσιν,
λήξαντα μόχθου πρὸς δόμους ὡρμημένον.

ΑΥ. ἔα· τίνας τούσδ᾽ ἐν πύλαις ὁρῶ ξένους;
τίνος δ᾽ ἕκατι τάσδ᾽ ἐπ᾽ ἀγραύλους πύλας
προσῆλθον; ἦ μου δεόμενοι; γυναικί τοι
αἰσχρὸν μετ᾽ ἀνδρῶν ἑστάναι νεανιῶν.

ΗΛ. ὦ φίλτατ᾽, εἰς ὕποπτα μὴ μόλῃς ἐμοί.
τὸν ὄντα δ᾽ εἴσει μῦθον· οἵδε γὰρ ξένοι

333. *ἐκεῖνον.* Sic dedi, monente Markl. ad Suppl. 1089. Vulgo legitur *ἐκείνου.* De more caput in luctibus radendi, vide quæ supra ad v. 239. Confer etiam v. 108.

337. *λέγω.* Angl. *I mean*, quo sensu legitur Hec. 730. Æsch. Sept. c. Theb. 491. Choeph. 126. Soph. Ant. 204.

340. *ἕκατι.* Attici dicunt Ἀθάνα, δαρὸς, ἕκατι, κυναγὸς, ποδαγὸς, λοχαγὸς, ξεναγὸς, ὀπαδὸς, per *α*, non per *η*. Pors. ad Orest. 26. His adde, monente Monkio, composita a *γη*, ut *γάποτος*, *γάπεδον*, et similia.

344. *τὸν ὄντα μῦθον.* i. e. verum sermonem. Angl. *the real conversation.* Sic Paus. in Achaic. p. 419.

ἤκουσ' Ὀρέστου πρός με κήρυκες λόγων.
ἀλλ', ὦ ξένοι, ξύγγνωτε τοῖς εἰρημένοις.
ΑΥ. τί φασιν; ἀνὴρ ἔστι, καὶ λεύσσει φάος;
ΗΛ. ἔστιν λόγῳ γοῦν· φασὶ δ' οὐκ ἄπιστ' ἐμοί.
ΑΥ. ἦ καί τι πατρὸς, σῶν τε μέμνηται κακῶν;
ΗΛ. ἐν ἐλπίσιν ταῦτ'· ἀσθενὴς φεύγων ἀνήρ.
ΑΥ. ἦλθον δ' Ὀρέστου τίν' ἀγορεύοντες λόγον;
ΗΛ. σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν.
ΑΥ. οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις.
ΗΛ. ἴσασιν· οὐδὲν τῶνδ' ἔχουσιν ἐνδεές.
ΑΥ. οὐκοῦν πάλαι χρῆν τοῖσδ' ἀνεπτύχθαι πύλας.

Δίαιος δὲ οὐ τὸν ὄντα ἔλεγεν Ἀχαιοῖς λόγον. *Diæus autem veritatem ad Achivos non retulit.*

347. ἀνήρ. Vulgo ἁνήρ. Sed vide supra ad v. 43. Simile quiddam habet Virg. Æn. 3. 339. *Quid puer Ascanius? superatne, et vescitur aurâ?*

Ibid. ἔστι. Hoc verbum accentu notat Seidlerus, quod hic valet ζῇ. "Verbum ἐστὶν enim duas habet significationes, unam, quæ simpliciter copulæ, quam logici vocant, munere fungitur, et prædicati alicujus accessionem requirit, ut, τοῦτο ἐστὶν ἀληθές; alteram, quæ ipsa in se conclusum habet prædicatum, ut, ἔστι Θεός." Herm. de Emend. Rat. Gr. Gramm. c. XXIII. p. 84. Ejusdem significationis exempla sunt Hipp. 357, 1162. Ita Hom. Il. χ. 384. Ἕκτορος οὐκ ἔτ' ἐόντος; et Eur. Supp. 1149. οὐκ ἔτ' εἰσί σοι, μᾶτερ, τέκνα, cui simillimum est illud D. Matth. II. 18. Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί.

Ibid. λεύσσει φάος. *lucem aspicit.* Pro *vivit*, noto Hebraismo, cujus inter alia, exemplum est Psal. lviii. 8. Confer etiam Eccles. vii. 11. Eâdem significatione φῶς ὁρῶντες ἡλίου occurrit Nostri Hipp. 4. Eandem loquendi rationem imitantur Latini, inter quos Lucret. I. 4. *genus omne animantum*, inquit, *Concipitur, visitque exortum lumina solis.*

349. πατρός. Comparat hic Barnesius Virgilianum illud, "*Ecqua tamen puero est amissæ cura parentis?*" Citari quoque potest Hec. 986.

350. Hic repetit Electra quod dixerat Orestes supra v. 234.

χωρεῖτ' ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγων
ξενίων κυρήσεθ', οἷ' ἐμὸς κεύθει δόμος.
αἴρεσθ', ὀπαδοὶ, τῶνδ' ἔσω τεύχη δόμων·
καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
οὔ τοι τό γ' ἦθος δυσγενὲς παρέξομαι.
ΟΡ. πρὸς θεῶν ὅδ' ἀνὴρ, ὃς ξυνεκκλέπτει γάμους
τοὺς σοὺς, Ὀρέστην οὐ καταισχύνειν θέλων;
ΗΛ. οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.
ΟΡ. φεῦ. οὐκ ἔστ' ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς

357. δόμος. Similis est Theocriti locus a Barnesio citatus ex Id. XXII. 222. ὡς ἐμὸς οἶκος ὑπάρχει Τοῖα φέρω.

361. οὔ τοι τό γ'. Hic versus, inter alios, Porsoni regulam illustrat, qui observavit ad Med. v. 675. *Atticis non licuisse γε post τοι ponere nisi alio vocabulo interjecto.*

364. κέκληται. i. e. *est*, quo sensu frequens esse hoc verbum apud Tragicos monet Monk. ad Hipp. 1. Obiter notandum est, quod καλεῖσθαι sequente genitivo idem sæpe significat ac *filius esse*. Exempla sunt Rhes. 298. τίνος κεκλημένος; *cujus est filius?*; et Pind. Pyth. III. 118. Η τινα Λατοΐδα κεκλημένον ἢ πατέρος. *Aliquem aut Apollinis aut Jovis filium.* Vide infra ad 894.

Ibid. ἀθλίας. ἄθλιος vox est *imprimis Attica*, ut ait Piers. ad Mœr. p. 47. Porro, hujus sententiæ constructionem notent tirones. *Possessiva enim Genitivos post se recipiunt cujusvis Adjectivi qui ad Genitivum Primitivi in Possessivo inclusi refertur.* Hæc fere Barnesius. Τὸν ἐμὸν μόχθον ἀθλίας occurrit in Eur. Supp. 931. Exempla sunt et apud Latinos. "*Nostros vidisti flentis ocellos.*" Ov. Epist. V. 45.

365. Hunc et sequentem versum ita reddit Grotius in Excerptt. p. 358. *Indicia nunquam certa virtutis patent, Sed animus hominum discrepat promiscue.*

τὸ μηδὲν ὄντα, χρηστά τ' ἐκ κακῶν τέκνα·
λιμόν τ' ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην τε μεγάλην ἐν πένητι σώματι.
πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτῳ; πονηρῷ γ' ἆρα χρήσεται κριτῇ.
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ' ἔχει νόσον
πενία· διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.
ἀλλ' εἰς ὅπλ' ἔλθω; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ' ἄν, ὅστις ἐστὶν ἀγαθός;
κράτιστον εἰκῇ ταῦτ' ἐᾷν ἀφειμένα.
οὗτος γὰρ ἀνὴρ, οὔτ' ἐν Ἀργείοις μέγας,
οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος,
ἐν τοῖς τε πολλοῖς ὢν, ἄριστος εὑρέθη.
οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων

370. Cum hoc versu Virgilianum illud, omnibus notissimum, Barnesius comparavit. "*Ingentes animos angusto in corpore versant.*"

Ibid. σώματι. Tragici σῶμα, et δεμὰς quoque similiter de *personâ* adhibent; distinctionem vero ab Homero semper servatam notent tirones, apud quem σῶμα de *cadavere* vel *mortuo homine*, δεμὰς autem de *vivo* corpore semper accipitur.

373. νόσον. Verissimum illud Juvenalis Sat. III. 153. *Nil habet infelix paupertas durius in se Quam quod ridiculos homines facit.*

376. ἀγαθός. Quare sic accentu notatur supra videas ad v. 43.

377. εἰκῇ. *Casu fortuito, sine consilio*, ut bene Blomfieldius ad Prom. 459. Ex Diog. Laertio Lib. II. §. 33. discimus "*Socratem cum hæc fabula publicè recitabatur, in theatro adfuisse, et hoc versu audito surrexisse, et e theatro fuisse egressum, dicentem, ridiculum esse, mancipium, si non inveniatur, dignum inquisitione judicare, virtutem autem ita subtrahi permittere.*" Heath.

Ibid. Pro εἰκῇ mavult Toupius εἴη, quod perperam est, omissâ particulâ ἄν. G. Burges. conjicit κράτιστ' ἂν εἴη.

381. οὐ μή. "Exigit sermonis ratio ut voculæ οὐ μὴ vel cum futuro

πλήρεις πλανᾶσθε; τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρινεῖτε, καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
οἱ γὰρ τοιοῦτοι τὰς πόλεις οἰκοῦσιν εὖ,
καὶ δώμαθ'· αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ' ἀγορᾶς εἰσίν· οὐδὲ γὰρ δορὶ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
ἐν τῇ φύσει δὲ τοῦτο, κἀν εὐψυχίᾳ.
ἀλλ', ἄξιος γὰρ ὅ, τε παρὼν, ὅ, τ' οὐ παρὼν
'Αγαμέμνονος παῖς, οὗπερ οὕνεχ' ἥκομεν,
δεξώμεθ' οἴκων καταλύσεις· χωρεῖν χρεὼν,
δμῶες, δόμων τῶνδ' ἐντός· ὡς ἐμοὶ πένης

indicativo vel cum aoristo altero formæ subjunctivæ construantur." Dawes. M. C. p. 221.

Ibid. κενῶν δοξασμάτων. i. e. *vanarum opinionum*. Iterum occurrit hæc vox in fragm. Melan. XIV. ut notavit Maltbeius in Thesauro. Simile quiddam habet Isocrates in Epist. ad liberos Jasonis. ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι. "*Insanientis dum sapientiæ Consultus* erro." Hor. Od. I. 34. 2.

386. ἀγάλματ'. Pet. Vict. Var. Lect. XVII. 24. ἀγάλματ' ἀγορᾶς eos vocat qui externam quandam dignitatis speciem præ se ferentes, nullius consilii sunt, et quasi ad fori ornatum tantum idonei. Eur. in fragm. ap. Athen. Deip. Lib. X. 2. inquit "Λαμπροὶ δ' εν ἥβῃ καὶ ΠΟΛΕΩΣ ΑΓΑΛΜΑΤΑ Φοιτῶσ· οταν δὲ προσπέσῃ γῆρας πικρὸν, Τρίβωνες ἐκλείποντες οἴχονται κρόκας.

389. παρὼν, ὅ τ' οὐ παρών. .Oxymori figura, apud Euripidem usitatissima. Exemplis a Valckn. ad Hipp. 1034. congestis, hæc adde. φρονῶν εὖ, κοὐ φρονῶν. Phœn. 372. καὶ φημὶ, κἀποφημι. Hec. 616. κατθανών τε, κοὐ θανών. Ion. 1444. Quare Nostrum ridebat Comicus in Acharn. 395. ΔΙΚΑΙΟΠΟΛΙΣ. ἔνδον ἔστ' Εὐριπίδης; ΚΗΦΙΣΟΦΩΝ. οὐκ ἔνδον, ἔνδον ἐστὶν, εἰ γνώμην ἔχεις· ΔΙ. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ΚΗ. ὀρθῶς, ὦ γέρον, ὁ νοῦς μὲν ἔξω συλλέγων επύλλια, οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τρυγῳδίαν.

390. οὕνεχ'. Atticos semper ἕνεκα vel οὕνεκα, nunquam vero εἵνεκα adhibere ostendit Brunck. ad Lysist. 74. Vide etiam Wolf. ad Demosth. p. 338.

εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος.
αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς εἰσδοχὰς δόμων·
ἐβουλόμην δ' ἂν, εἰ κασίγνητός με σὸς
εἰς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
ἴσως δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρησμοὶ, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.
ΧΟ. νῦν, ἢ πάροιθεν μᾶλλον, Ἠλέκτρα, χαρᾷ
θερμαινόμεσθα καρδίαν· ἴσως γὰρ ἂν
μόλις προβαίνουσ' ἡ τύχη σταίη καλῶς.
ΗΛ. ὦ τλῆμον, εἰδὼς δωμάτων χρείαν σέθεν,
τί τούσδ' ἐδέξω μείζονας σαυτοῦ ξένους;
ΑΥ. τί δ'; εἴπερ εἰσὶν, ὡς δοκοῦσιν, εὐγενεῖς,
οὐκ ἔν τε μικροῖς, ἔν τε μὴ, στέρξουσ' ὅμως;
ΗΛ. ἐπεί νυν ἐξήμαρτες, ἐν σμικροῖσιν ὢν,
ἔλθ' ὡς παλαιὸν τροφὸν ἐμοῦ φίλου πατρός·
ὃς ἀμφὶ ποταμὸν Ταναὸν Ἀργείας ὅρους

398. Hic locus Euripidis astrologorum prædictiones ridentis genium sapit. Sic et Hel. 750. inquit, *ἀλλά τοι τὰ μάντεων Εσεῖδον, ὡς φαῦλ' ἐστὶ καὶ ψευδῶν πλέα.* Et postea 759.

Ibid. *χαίρειν ἐῶ. omitto, prætermitto*, ut frequenter apud Platonem. Exemplum sumas e Gorg. p. 476. *καὶ ἐγώ σε μόνον ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν.* Similis locutio est in Œd. T. 499. Hipp. 1062. Eodem ferè sensu usurpatur *valeat* apud Latinos. *Si talis est Deus, ut nullâ hominum caritate teneatur*, valeat. Cic. de Nat. D. I. 9.

407. *ὡς.* Atticè pro *πρὸς* vel *εἰς.* Hoc nunquam fit nisi de rebus animatis, quod exempla satis manifestant. *ἐς τόν Τάρταρον ὡς τοὺς Γίγαντας.* Lucian. T. II. p. 789. *ὡς τὸν Δί', ἐς τον οὐρανόν.* Vide Koen. ad Greg. de dial. p. 32. et Valck. ad Phœn. 1409.

408. *Ταναόν.* *Τανόν* emendavit Barnesius ex Pausan. Corinth. p. 81. citante Stiblino. Hermannus, Hea-

τέμνοντα γαίας, Σπαρτιάτιδός τε γῆς,
ποίμναις ὁμαρτεῖ, πόλεος ἐκβεβλημένος·
κέλευε δ' αὐτὸν, εἰς δόμους ἀφιγμένον,
ἐλθεῖν, ξένων τ' εἰς δαῖτα πορσῦναι τινά.
ἡσθήσεταί τοι, καὶ προσεύξεται θεοῖς,
ζῶντ' εἰσακούσας παῖδ', ὃν ἐκσώζει ποτέ.
οὐ γὰρ πατρῴων ἐκ δόμων μητρὸς πάρα
λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἂν,
εἰ ζῶντ' Ὀρέστην ἡ τάλαιν' αἴσθοιτ' ἔτι.
ΑΥ. ἀλλ', εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λόγους
γέροντι· χώρει δ' εἰς δόμους ὅσον τάχος,
καὶ τἄνδον ἐξάρτυε· πολλά τοι γυνὴ
χρῄζουσ' ἂν εὕροι δαιτὶ προσφορήματα.
ἔστιν δὲ δὴ τοσαῦτα τἀν δόμοις ἔτι,
ὥσθ' ἕν γ' ἐπ' ἦμαρ τούσδε πληρῶσαι βορᾶς.
ἐν τοῖς τοιούτοις δ' ἡνίκ' ἂν γνώμη πέσω,
σκοπῶ τὰ χρήμαθ', ὡς ἔχει μέγα σθένος,
ξένοις τε δοῦναι, σῶμά τ' εἰς νόσον πεσὸν

thius, Seidlerus, vulgatam lectionem censent retinendam.

414. ἐκσώζει. Præsens pro præterito ut supra v. 34. Exemplis ibi allatis adde unum e Pausan. in Achaicis. p. 399. τὸ μὲν γενὸς πᾶν τὸ ἄρσεν ἀπέκτειναν, πλὴν ὅσοι τῆς πολέως ἁλισκομένης ΕΚΔΙΔΡΑΣΚΟΥΣΙ.

424. Vulgo γνώμη πέσοι, quam lectionem feliciter, ut opinor, correxit Seidlerus, qui ita explicat. *Quando, ubi tale quid accidit, in meditationem incidero, intelligo &c.*

425. σκοπῶ κ. λ. Verum illud Apul. lib. 9. χρυσὸς ἀνοίγει πάντα, κ'ἅΐδου πύλας. Conferri etiam potest Nost. in Med. 970. χρυσὸς δὲ, κρείσσων μυρίων λόγων βροτοῖς.

426. Paulo aliter hunc versum citat Plutarchus de Aud. Poet. φίλοις pro ξένοις, et νόσους pro νόσον legens.

δαπάναισι σῶσαι· τῆσδ' ἐφ' ἡμέραν βορᾶς
εἰς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε, χὠ πένης, ἴσον φέρει.

ΧΟ. κλειναὶ νᾶες, αἵ ποτ' ἔμβατε Τροίαν *στρ. α'.*
τοῖς ἀμετρήτοις ἐρετμοῖς,
πέμπουσαι χοροὺς μετὰ Νηρήδων·
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρώραις κυανεμβόλοι-
σιν εἱλισσόμενος,
πορεύων τὸν τᾶς Θέτιδος
κοῦφον ἅλμα ποδῶν Ἀχιλῆ,
ξὺν Ἀγαμέμνονι, Τρωΐας
ἐπὶ Σιμουντίδας ἀκτάς.

Νηρῇδες δ' Εὐβοΐδας ἀκτὰς λιποῦσαι, *ἀντιστρ. α'.*
Ἡφαίστου χρυσέων ἀκμόνων
μόχθους ἀσπιστὰς ἔφερον τευχέων·
ἀνά τε Πήλιον, ἀνά τε πρυμ-

429. πᾶς γαρ κ. λ. Hor. Sat. I. 1. 46. "*Non tuus hoc capiet venter plusquam meus.*"

432. πέμπουσαι. *ducentes choreas.* Optime confert Seidlerus Hel. 1467. ubi navis vocatur χόραγος τῶν καλλιχόρων δελφίνων. Ita Soph. Œd. Col. πλάτα—Νηρήδων ἀκόλουθος.

433. ἵν'. i. e. in mari, quod in prægressâ sententiâ latet. Constructionem particularum ἵνα, ὡς, ὅπως, ὄφρα, eruditè, ut omnia, explicavit Monk. ad Hipp. 643. 1293. quem vide.

Ibid. φίλαυλος κ. λ. Hos versus ridet Aristoph. Ran. 1352.

Ibid. ἔπαλλε. Simplex πάλλω hic in medio sensu ponitur, ut et infra 474. ἔπαλλον pro ἐπάλλοντο. *Delphinum mulceri symphoniæ cantu et præcipue hydrauli sono,* scripsit Plin. Hist. Nat. IX. 8. a Barnesio citatus.

438. Vulgo Τροίας, repugnante, metro.

442. ἀσπιστὰς. ἀσπέτους cor-

νὰς Ὄσσας ἱερὰς νάπας,
νυμφαίας σκοπιὰς,
κόρας μάτευσ'· ἔνθα πατὴρ
ἱππότας τρέφεν Ἑλλάδι φῶς,
Θέτιδος εἰνάλιον γόνον,
ταχύπορον πόδ' Ἀτρείδαις.
Ἰλιόθεν δ' ἔκλυον τινὸς ἐν λιμέσιν στρ. β'.
Ναυπλίοισι βεβῶτος,
τᾶς σᾶς, ὦ Θέτιδος παῖ,
κλεινᾶς ἀσπίδος ἐν κύκλῳ
τοιάδε σήματα, δείματα
Φρύγια, τετύχθαι·
περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ,
Περσέα λαιμοτόμον ὑπὲρ
ἁλὸς ποτανοῖσι πεδίλοι-

rigit Musgr. — Heath. censet ἀσπιστὰς penultimam corripere, citans Cl. ad Il. β. 537, cujus adeas notam.

443. ἀνά τε κ. λ. Locus importunissimus, cujus sensum reperire nequeo. Legit G. Burges. ἀνά τε πρυμνὰς Ὄσσας ἱερὰς νάπας Κορᾶν τε σκοπιὰς Μάτευουσ', ἔνθα πατὴρ κ. λ. quod contra metrum.

Ibid. πρυμνάς. Hesych. πρυμνὸν, τὸ ἔσχατον, τὸ ἄκρον. De ἐξοχαῖς τοῦ ὄρους explicandum putat Seidlerus, contra Musgravium, qui de radicibus montis intellexit.

448. εἰνάλιον. Vulgo ἐνάλιον, repugnante metro. εἰνάλιον vero, teste Porsono ad Phœn. 3. nunquam usurpatur extra choros.

453. ἀσπίδος. Clypei hujus forma paulo aliter ab Homero describitur, nec tamen Euripidis descriptio cum illâ pugnat. Is enim et quæ Homerus habet, tangit, et alia nonnulla pro poetarum auctoritate adfingit. Barnes.

457. λαιμοτόμον. *Jugulatorem* scilicet, qui Gorgoni Medusæ caput abscidit. Unde ab Oppiano vocatur in Cyneg. L. II. ὁ Γοργόνος αὐχένα κόψας.

458. ποτανοῖσι. Hujus vocis apud

σι φυὰν Γοργόνος ἴσχειν·
Διὸς ἀγγέλῳ ξὺν Ἑρμᾷ,
τῷ Μαίας ἀγροτῆρι κούρῳ.
ἐν δὲ μέσῳ κατέλαμπε σάκει φαέθων ἀντιστρ. β'.
κύκλος ἀελίοιο,
ἵπποις ἂν πτεροέσσαις·
ἄστρων τ' αἰθέριοι χοροὶ,
Πλειάδες, Ὑάδες, Ἕκτορος
ὄμμασι τροπαῖοι.
ἐπὶ δὲ χρυσεοτύπῳ κράνει

nostrum frequentatæ secundam syllabam produci sciant tirones.

461. ἀγροτῆρι. Hoc epitheton Mercurio datum Heathius putat, quia in Arcadiâ natus et educatus erat, et ejus regionis præcipue patronus. Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου. Hom. Hymn. ad Merc. v. 2.

463. ἀελίοιο. Terminatio Ionica in choricis frequens. Exempla adeas Orest. 812. Troad. 838. Herc. F. 123.

464. ἂν πτεροέσσαις. ἂν i. e. ἀνά, Doricè pro σύν, ut ap. Hom. χρυσέῳ ἀνὰ σκήπτρῳ Il. A. 15. et Pind. χρυσέαις ἀν' ἵπποις. Ol. I. 66. Ita πὰρ pro παρὰ Doriensibus in usu erat. Porro usitatum est Græcis poetis *Equos* optimos per fœmininum genus *Equas* vocare, ut βαλίαισι πώλοις, Rhes. 356. θοαῖς ἵπποισιν. Phœn. 3. et in Pind. loco supra citato. Hoc vero obiter notandum; quandocunque ἵππος pro *equitatu* ponitur, singulari numero semper et fœminino genere occurrit. Barnes.

465. χοροί. Sic Theocr. Idyll. 2. "χαίρετε δ' ἄλλοι Ἀστέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί." Sic et Tibull. 2. 1. 87. supra citatus, "Ludite, jam nox jungit equos, currumque sequuntur Matris lascivo sidera fulva *choro*. Ad rem Lucian. de Salt. c. 7, qui inquit "ἡ γοῦν χορεία τῶν ἀστέρων, καὶ ἡ πρὸς τοὺς ἀπλανεῖς τῶν πλανήτων συμπλοκὴ, καὶ εὔρυθμος αὐτῶν κοινωνία καὶ εὔτακτος ἁρμονία, τῆς πρωτογόνου ὀρχήσεως δείγματα ἐστι."

467. τροπαῖοι. Ita Barnesius pro vulgari τροπαίοις. "Quod etiam Homerus de Myrmidonibus ait Il. T. 14. Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν, Euripides diceret, τὰ δὲ τεύχεα Μυρμιδόνων ὄμμασιν ἦσαν τροπαῖα."

Σφίγγες, ὄνυξιν ἀοίδιμον
ἄγραν φέρουσαι· περιπλεύρῳ
δὲ κύτει, πύρπνοος ἔσπευ-
δε δρόμῳ λέαινα, χαλαῖς
Πειρηναῖον θορῶσα πῶλον.
ἐν δὲ δόρει φονίῳ, τετραβάμονες ἐπῳδός.
ἵπποι ἔπαλλον·
κελαινὰ δ' ἀμφὶ νῶθ' ἵετο κόνις.
τοιῶνδ' ἄνακτα
δοριπόνων ἔκανεν ἀνδρῶν Τυνδαρὶς,

469. ὄνυξιν. Ita Sphinga γαμψώνυχα πάρθενον appellat Chorus in Œd. Reg. v. 1198.

471. κύτος. ὄγκος, χώρημα, βάθος, πλάτος. Suid. Hesych. Secundum Steph. in Thes. vocabulum generale est, significans omne quod cavum est. In Alcmanis fragment. ap. Athen. X. καί πόκα σοι δώσω τρίποδος κύτος. Sed vide Æsch. Sept. c. Theb. v. 491. ubi nuncius de Hippomedontis clypeo loquens, hæc habet, ὀφέων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορας κύκλου. Videtur igitur περίπλευρον κύτος in h. l. spatium esse galeæ extremas partes ambiens, in quo, ut in clypeo supradicto expressa erat Chimæra ignem vomens, et in Pegasum irruens. Apud Athen. X. Antiphanes τὴν χύτραν vocat κοιλοσώματον κύτος.

472. λέαινα. Rectè interpretantur de Chimærâ, de quâ Hom. Il. Z. 181. πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα, Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο. Quæ Lucretius ita traduxit, V. 503. *Prima leo, postrema draco, media ipsa Chimæra Ore foras acrem efflaret de corpore flammam.*

473. Πειρηναῖον πῶλον. Pegasus hic rectè intelligitur, cujus auxilio Bellerophon Chimæram vicit.

Ibid. θορῶσα. Corrupta certè vox, pro quâ Miltonus, annuente Seidlero, θηρῶσα restitui voluit, metro non repugnante.

474. δόρει. Vulgo δορί. Veram lectionem dedit Seidlerus.

477. ἔκανεν. Mavult Seidlerus ἔκανες. Sed nihil opus. Paulo post pro Τυνδαρὶς ἀλέχεα scripsit Τυνδαρὶ, σὰ λέχεα, i. e. *tuum maritum.* Minus a vulgatis recedit ἃ λέχεα, *ejus maritum*, prout edidi. Pluralem enim λέχεα de personâ posuit Noster etiam Hel. 590. 596. 790. 980. et λέκτρα Andr. 929. Iph. Aul. 1355. εὐνῆς supra v. 253. Eodem sensu

ἃ λέχεα, κακόφρων κούρα. τοίγαρ σέ ποτ'
οὐρανίδαι πέμψουσιν θανάτοισι, κἂν
ἔτ', ἔτι φόνιον ὑπὸ δέραν
ὄψομαι αἷμα χυθὲν σιδάρῳ.

ΠΡΕΣΒΥΣ.

ποῦ, ποῦ νεᾶνις πότνι' ἐμὴ, δέσποινά τε,
Ἀγαμέμνονος παῖς, ἥν ποτ' ἐξέθρεψ' ἐγώ;
ὡς πρόσβασιν τῶνδ' ὀρθίαν οἴκων ἔχει,
ῥυσῷ γέροντι τῷδε προσβῆναι ποδί.
ὅμως δὲ πρός γε τοὺς φίλους ἐξελκτέον
διπλῆν ἄκανθαν, καὶ παλίρροπον γόνυ.

lectus et *cubile* usurpantur apud Latinos.

478. κούρα pro γυνὴ, ut *puella* aliquando apud Latinos. Ov. 2. Fast. et Hor. Od. 3. 22. 2. Eâdem loquendì formâ πῶλος pro ἵππος occurrit supra 473. et *vitula* pro *bove* Virg. Ecl. 3. 29.

479. θανάτοισι. Pluralem θάνατοι, teste Seidlero, sæpius noster usurpat, ubi de violentâ, vel de prematurâ morte sermo est. Sic ap. Æsch. Choeph. 51. δεσποτῶν θανάτοισι occurrit, unius Agamemnonis mortem indicans, gravius tamen atque altius dictum quam si numerus singularis adhiberetur. Vide et Soph. El. 206.

481. ὄψομαι. Victor ὄψομ' quod perperam est. Seidlerum sequor.

485. ῥυσῷ. Ita edidi pro vulgato ῥυσσῷ, Porsonum secutus, qui hunc versum ita citat ad Phœn. 861. Ῥυσὸς est vox Attica. Exempla sunt, ῥυσᾶς ἐξ ἁλὸς Æsch. Agam. 1417. ῥυσὰ δὲ σαρκῶν πολιῶν. Eur. Supp. 50. ubi tamen Heathius et Marklandus præferunt ῥυσσά. Suid. ῥυσαί. ῥυτίδας ἔχουσαι, ad Il. I. 499. forte respiciens, ubi Λιταί appellantur χωλαί τε, ῥυσαί τε (apud Clarkium ῥυσσαί). Hesychius inter ῥυσὸς et ῥυσσὸς fluctuat.

Ibid. γέροντι τῷδε. i. e. δεικτίκως pro ἐμοί. Vide supr. ad v. 43.

487. διπλῆν ἄκανθαν. i. e. duplicem spinam, non ut Barnesius vult, ob costas *utrinque ex spinâ exertas*, sed potius ob senilis dorsi curvitatem. Ad rem Musgravius confert illud Plutarch. in Camill. p. 274. κάμπτεσθαι ταχὺ καὶ διπλοῦσθαι τὰς

ὦ θύγατερ, ἄρτι γάρ σε πρὸς δόμοις ὁρῶ,
ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων
ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε,
στεφάνους τε, τευχέων τ' ἐξελὼν τυρεύματα,
πολιόν τε θησαύρισμα Διονύσου τόδε,
ὀσμῇ κατῆρες, μικρὸν, ἀλλ' ἐπεισβαλεῖν
ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ.
ἴτω φέρων τὶς τοῖς ξένοις τάδ' εἰς δόμους·
ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων, κόρας

μαχαίρας. Addit Seidlerus Virg. Æn. XI. 645. *duplicatque* virum (hasta) transfixa dolore, et Val. Max. 5. 1. *duplicatum* frigore corpus.

490. θρέμμα. *Animal.* Quicquid alitur, ut rectè Blomf. ad Sept. c. Theb. 166. qui inquit, "*plerumque in malam partem sumitur.*" Soph. Elect. 624. Ὦ θρέμμ' ἀναιδές, (qu. etiam occ. Aristoph. Lysistr. 369.) Eur. And. 260. At χαρίτων θρέμμα est in Aristoph. Eccles. 966.

491. στεφάνους. Vel στεφάνους ad hospites coronandos senex putatur tulisse, ut mos fuit apud Græcos, atque inde Hercules apud Admetum κάρα στεφάνοις πυκασθείς Alc. 831; vel ob Electræ creditum puerperium. Ita enim Hesychius, Στέφανον, inquit, ἐκφέρειν ἔθος ἦν, ὁπότε παιδίον ἄῤῥεν γένοιτο παρὰ Ἀττικοῖς, στέφανον ἐλαίας τιθέναι πρὸ τῶν θυρῶν. ἐπὶ δὲ τῶν θηλειῶν, ἔρια, δια τὴν ταλασίαν.

492. πολιόν. Πολιὸν est emendatio Scaligeri, cum in vulgatis esset παλαιόν. Scaligeri πολιὸν autem probat Musgravius, cui assentiuntur Porsonus et Marklandus. Pierson. ad Mœr. p. 353. præfert πολιοῦ.

493. οσμῇ κατῆρες. *Odore instructum*, i. e. vinum *odorum* ut recte explicat Markl. ad Supp. 110. Hanc vocem habet Herodot. VIII. 21. καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον, quod vertitur, *et habebat expeditum et remis instructum navigium*. Sunt qui κατήρης ducunt ab ἐρέσσω remigo, quorum etymo non multum ipse tribuo. Namque aliæ sunt Euripideæ dictiones ad eandem terminationem referendæ, quales sunt λογχήρης, τοξήρης, εὐήρης, ἰσήρης, μεσσήρης, χρυσήρης.

496. τρύχει. Vide supra ad v. 184. Porro τό πέπλον secundum Hesychium fœminarum est proprium, ἱμάτιον γυναικεῖον. Non semper, namque habebant et viri sua πέπλα, quod tamen credo fuisse nomen abusivum. Sic ap. Aristoph. Acharn.

δακρύοισι τέγξας, ἐξομόρξασθαι θέλω.
ΗΛ. τί δ', ὦ γεραιὲ διάβροχον τόδ' ὄμμ' ἔχεις;
μῶν τἀμὰ διὰ χρόνου σ' ἀνέμνησαν κακά;
ἢ τὰς Ὀρέστου τλήμονας φυγὰς στένεις,
καὶ πατέρα τὸν ἐμὸν, ὅν ποτ' ἐν χεροῖν ἔχων,
ἀνόνητ' ἔθρεψας σοί τε, καὶ τοῖς σοῖς φίλοις;
ΠΡ. ἀνόνηθ'· ὅμως γοῦν τοῦτό γ' οὐκ ἠνεσχόμην.
ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον, πάρεργ' ὁδοῦ,
καὶ προσπεσὼν ἔκλαυσ', ἐρημίας τυχών·
σπονδάς τε, λύσας ἀσκὸν ὃν φέρω ξένοις,
ἔσπεισα· τύμβῳ δ' ἀμφέθηκα μυρσίνας.
πυρᾶς δ' ἐπ' αὐτῆς ὄϊν μελάγχιμον πόκῳ
σφάγιον ἐσεῖδον, αἷμά τ' οὐ πάλαι χυθὲν,

422. Euripides inquit, *ποίας ποτ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων.*

502. *ἀνόνητ'*. i. e. *ἀνωφελῶς*. Idem vocabulum occurrit apud Nostrum in Alcest. 419. Hec. 760. Herc. F. 718. Hipp. 1140.

503. *ἠνεσχόμην*. Verte cum Seidl. *Verum ab hoc mihi non potui temperare.* Beckius legit *ἠνυσσόμην*, sed non est cur aliquid mutetur.

507. *μυρσίνας*. Vide supra ad v. 322. ubi Electra questa est, quod neque *χοὰς*, neque *κλῶνα μυρσίνης* patris sui manes acceperant.

508. *ὄιν*. Ita Seidl. vulgo *ὄϊν*. At vero, teste Pors. Præf. ad Hec. p. x. Attici qui semper *οἰζὺς* dixerunt, et *οἰζυρὸς*, eodem modo dixerunt *οἶς*, *οἰστὸς*, Οἰκλῆς, Οἰλεύς. Exempla sunt Eur. Andr. 1132. *Οἰστοὶ, μεσάγκυλ', ἔκλυτοι τ' ἀμφώβολοι.* Herc. Fur. 196. *μυρίους οἰστοὺς ἀφείς.* Med. 634. *ἄφυκτον οἰστόν.* Æsch. Sept. c. Theb. 378. *Οἰκλείδην σοφὸν*, et 605. *υἱὸν Οἰκλέους λέγω*, ut bene edidit Blomfieldius. Ad eandem pronunciationis normam referuntur *φθοῖς*, *διπλοΐζειν*, *ἀθροΐζειν*, *νοΐδιον*, *βοΐδιον*, *προχοΐδιον*, *γραΐδιον*, *ἡμιδιπλοΐδιον*, quæ notavit Piers. ad Moer. 276.

Ibid. *μελάγχιμον*. *nigrum.* Non compositum est, sed duntaxat *παράγωγον* a *μελάς*, teste Eustath. ad Hom. Il. X. 13. *Πέπλους μελαγχίμους* occurrit Phœn. 383. Præ-

ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους.
κἀθαύμασ', ὦ παῖ, τίς ποτ' ἀνθρώπων ἔτλη
πρὸς τύμβον ἐλθεῖν· οὐ γὰρ Ἀργείων γέ τις.
ἀλλ' ἦλθ' ἴσως που σὸς κασίγνητος λάθρα,
μολὼν δ', ἐθαύμασ' ἄθλιον τύμβον πατρός.
σκέψαι δὲ χαίτην, προστιθεῖσα σῇ κόμῃ,
εἰ χρῶμα ταὐτὸ κουρίμης ἔσται τριχός.
φιλεῖ γὰρ, αἷμα ταὐτὸν οἷς ἂν ᾖ πατρὸς,

terea, quæ nunc a se spectata Pædagogus memorat, ipse Orestes a se facta testatur v. 90. et seqq.

510. *βοστρύχους.* Ab Hesychio *βόστρυχοι* exponuntur *πλόκαμοι*, qui et notationem hujus nominis addit, viz. a *βότρυς*, racemus; ut nimirum dicatur quasi *βότρυχος*, quia, inquit, *μετὰ σχήματος βοτρυοειδοῦς ἀπήρτηται.* Cui explicationi favet Miltonus noster P. L. IV. 301. "*His hyacinthin locks hung clustring,*" et infra v. 305. "*tresses in wanton ringlets wav'd As the vine curls her tendrils.*"

Ibid. *κεκαρμένους.* Vide supra ad v. 91. Exemplis ibi citatis adde Soph. Aj. 1191. κ. λ. Eur. Ph. 333. *δακρυοέσσαν ἱεῖσα πενθήρη κόμαν.* Æsch. Choeph. 7. *πλόκαμον πενθητήριον*, ubi bene Stanleius differentiam notat inter capillum *θρεπτήριον* quem fluminibus aut Diis tondebant veteres, et *πενθητήριον*, quem amicis vitâ functis consecrabant.

513. *ἀλλ' ἦλθ'.* De hoc *ἀναγνωρίσεων* genere ita loquitur Aristot. de Poet. κεφ. χ'. *Τετάρτη δὲ, ἡ ἐκ Συλλογισμοῦ· οἷον, ἐν Χοηφόροις, ὅτι ὅμοιός τις ἐλήλυθεν, ὅμοιος δὲ οὐθεὶς ἀλλ' ἢ Ὀρέστης, οὗτος ἄρα ἐλήλυθεν.* Quæ *ἀναγνώρισις* inter debiliores jure optimo recensenda, a Comico derisa fuit, Nub. 534. *Νῦν οὖν, Ἠλέκτραν κατ' ἐκείνην, ἥδ' ἡ κωμῳδία Ζητοῦσ' ἦλθεν, ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς. Γνώσεται γὰρ, ἥνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.*

514. *ἐθαύμασ'.* *cum admiratione contemplatus est*, vel potius *reverentiâ habuit*, ut supra v. 84. Sic in Xen. K. Π. III. *μοί ἐδόκει τὸν ἐμὸν υἱὸν ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν ἢ ἐμέ.* Et Themist. Orat. 3. *σεβασθείς τε καὶ θαυμάσας.* Vide plura apud Valcken. ad Hipp. 106. Hanc loquendi formam et Latini imitati sunt. Virg. Georg. IV. 215. "*illum admirantur, et omnes Circumstant fremitu denso.*" Hor. Od. IV. 14. 22. *te profugus Scythes* Miratur, &c. quæ citat Monkius. Adde Justin. lib. 5. Cap. 4. *Et universos quidem milites, præcipue tamen Alcibiadem mirantur.*

517. *φιλεῖ.* Elegans est et Atticis

τὰ πόλλ' ὅμοια σώματος πεφυκέναι.
ΗΛ. οὐκ ἄξι' ἀνδρὸς, ὦ γέρον, σοφοῦ λέγεις,
εἰ κρυπτὸν εἰς γῆν τήνδ' ἂν Αἰγίσθου φόβῳ
δοκεῖς ἀδελφὸν τὸν ἐμὸν εὐθαρσῆ μολεῖν.
ἔπειτα χαίτης πῶς ξυνοίσεται πλόκος;
ὁ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφεὶς,
ὁ δὲ κτενισμοῖς θῆλυς· ἀλλ' ἀμήχανον.
πολλοῖς δ' ἂν εὕροις βοστρύχους ὁμοπτέρους
καὶ μὴ γεγῶσιν αἵματος ταυτοῦ, γέρον.
ΠΡ. σὺ δ' εἰς ἴχνος βᾶσ', ἀρβύλης σκέψαι βάσιν,
εἰ ξύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον.

frequens usus verbi *φιλέω* pro *εἴωθα*. Sic Herod. Ed. H. Steph. p. 442. *φίλει ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν*, quod citavit Barnesius. Adde Eur. Med. 48. *νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.* Soph. El. 320. *φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα*, et 972. *φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾷν.* Plura dedit Piers. ad Moer. p. 382. Huc etiam referri possit illud D. Matth. VI. 5. *καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑπόκριταὶ· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς—προσεύχεσθαι.* Ad eundem modum Latini sæpe "*amo*" dicunt, pro "*soleo*," cujus exemplum est Hor. Od. III. 16. 9. Aurum per medios ire satellites et perrumpere *amat* saxa. Ita Sall. Jug. 34. impetu atque aliis omnibus quæ ira fieri *amant*.

524. *θῆλυς*. i. e. *ἀσθενὴς*, sine respectu ad sexum, et opponitur *τῷ πλοκαμῷ παλαίστραις τράφεντι* in præcedente versu. Eodem modo Soph. Trach. 1064. *γυνὴ δὲ, θῆλυς οὖσα*. et Eur. Med. 924. *γυνὴ δὲ, θῆλυ*. In Orest. 1202. *ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη, τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον*, hæc verba *ἄρσην* et *θῆλυς* sibi invicem opponuntur.

525. *ὁμοπτέρους*. Hesych. h. v. exponit, *ὅμοιοι, ὁμότριχες, ὁμόχρονοι, ἀδελφοὶ, ἥλικες, ὁμοῦ ηὐξημένοι.* Vox occurrit apud Æsch. Choeph. 172. ubi Butlerus "Illud *ὁμόπτερος* quod Græci dicunt satis eleganter, innati triviis nostris ad amussim exprimunt, *birds of a feather*." Beckius monet respicere huc Pollucem Onom. 6. 156. *ὁμοπτέρους δὲ τοὺς ὁμοτρίχους εἰπόντος Εὐριπίδου.*—Seidl.

526. *αἵματος*. Ita *sanguis* pro *familia* dicitur apud Latinos, "Sate *sanguine* Divum." Virg. Æn. VI. 125.

ΗΛ. πῶς δ' ἂν γένοιτ' ἂν ἐν κραταιλέῳ πέδῳ
γαίας ποδῶν ἔκμακτρον; εἰ δ' ἔστιν τόδε,
δυοῖν ἀδελφοῖν ποῦς ἂν οὐ γένοιτ' ἴσος,
ἀνδρός τε καὶ γυναικὸς, ἀλλ' ἄρσην κρατεῖ.
ΠΡ. οὐκ ἔστιν, εἰ καὶ γὴν κασίγνητος μολὼν,
κερκίδος ὅτῳ γνοίης ἂν ἐξύφασμα σῆς,

529. κραταίλεῳ πέδῳ. Idem est quod Hom. Odyss. ψ. 46. κραταίπεδον οὖδας vocat.

530. ἔκμακτρον. i. e. pedum vestigium. Anglicè, *the print*. ἐκμαγῆναι, ἐκτυπωθῆναι. Hesych. ἐκματτόμενος ὑπὸ τῶν ἀνδριαντοποιῶν. Lucian. II. 681. Cui geminum est illud Horatianum, *Expressi* vultus per ahenea signa. Ep. II. 1. 148.

531. ἀδελφοῖν. i. e. *fratris et sororis*. 'Αδελφὸς hic *collectivè* dicitur, et non, ut Musgravius putat, ad Orestem et Electram solummodo refertur.

533. εἰ καὶ. *etsi*. De potestate harum particularum ita disputat Herman. ad Vig. "Non idem est utrum καὶ εἰ, an εἰ καὶ dicas, καὶ εἰ est *etiam si*, et καὶ refertur ad ipsam conditionem, eamque indicat non certam esse: *etiam tum, si*. Quare καὶ εἰ usurpatur de re, quam sumi tantum a nobis ut veram indicamus: ut, καὶ εἰ ἀθάνατος ἦν, *etiam si immortalis essem*: non de re, quam esse veram indicamus, ad quod exprimendum adhibetur εἰ καί, rem ita esse, ut dicitur, significans, ut, εἰ καὶ θνητός εἰμι, *quanquam mortalis sum*."

534. κερκίδος. κερκὶς primâ significatione pro *radio textorio* sumitur, ut hic et Hom. Il. χ. 448. χαμαὶ ἔκπεσε κερκίς, deinde, per synecdochen *tela* dicitur, ut Eur. Hec. 1155. ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς, ubi Schol. ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον· κερκὶς γὰρ κυρίως ὁ ἄτρακτος ἐν ᾧ ὑφαίνουσιν. Præterea, nobiles apud Græcos mulieres textoria opera non dedecuisse vel e Theocrito patet, Idyll. XVIII. 33. ubi de Helenâ dicit, Οὔτέ τις ἐν ταλάρω πανίσδεται ἔργα τοιαῦτα Οὔτ' ἐνὶ δαιδαλέῳ πυκινώτερον ἤτριον ἱστῷ Κερκίδι συμπλέξασα μακρῶν ἔταμ' ἐκ καλεόντων.

Ibid. ἐξύφασμα. aliquid textile, ut rectè monuit Stanl. qui tres ἀναγνωρισέως Æschyleæ partes in Choeph. 166—230. nostrum putat sigillatim perstrinxisse; i. e. primò agnitionem capillorum, Choeph. 166. (quæ supra 510); deinde vestigiorum symmetriam, Choeph. 203. (supra 527); denique, τὸ ὕφασμα Choeph. 239. de quo in præsenti versu loquitur. Butlerus, cui Stanleii de his opinio certissima est, hæc addit. "Nec solus est aut singularis hic locus, in quo æmulos suos salsè

ἐν ᾧ ποτ' αὐτὸν ἐξέκλεψα μὴ θανεῖν;
ΗΛ. οὐκ οἶσθ', Ὀρέστης ἡνίκ' ἐκπίπτει χθονὸς,
νέαν μ' ἔτ' οὖσαν; εἰ δὲ κἄκρεκον πέπλους,
πῶς ἂν, τότ' ὢν παῖς, νῦν ἔχοι ταὖτ' ἂν φάρη,
εἰ μὴ ξυναύξοινθ' οἱ πέπλοι τῷ σώματι;
ἀλλ' ἤ τις αὐτοῦ τάφον ἐποικτείρας ξένος
ἐκείρατ', ἢ τῆσδε, σκότος λαβὼν, χθονός.
ΠΡ. οἱ δὲ ξένοι ποῦ; βούλομαι γὰρ εἰσιδὼν
αὐτοὺς ἔρεσθαι σοῦ κασιγνήτου πέρι.
ΗΛ. οἵδ' ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί.
ΠΡ. ἀλλ' εὐγενεῖς μέν· ἐν δὲ κιβδήλῳ τόδε·

vellicant poetæ. Idem ab Aristophane factum millies, ab Horatio sæpius quam nonnullis visum. Sic Ennium derisit Lucilius, Virgilium Bavius et Mævius, Apollonium tetigit Callimachus, Terentium Laberius, Pindaro oblaterabant ignobiles quidam, alii aliis, quos recensere longum esset. Nimirum ita comparata sunt humana pectora ut in nobismet cæci sumus, in aliis Lynceo oculatiores."

535. μὴ θανεῖν. Similis constructio occurrit in Orest. 591. ῥυσεταί με μὴ θανεῖν. Particulam vero nonnunquam omitti testis est Monk. ad Alcest. 11. ubi exempla affert Phœn. 609. Andr. 44. Herc. Fur. 317.

536. ἐκπίπτει. *Excidit, ut exul aufugit*. Frequens est hujus vocis usus apud Euripidem. Confer Med. 455. 463. Androm 876. Heracl. 223.

538. ταὖτ'. Sic pro ταῦτ' legit Portus, quod et laudat Elmsleius. φάρη supra v. 315. penultimam producit.

541. σκότος λαβών. Vulgo σκοποὺς λαθών. Seidleri emendationem sequor, audaciorem forsan, sed ex librorum discrepantiâ concinnatam. Eam tuetur ex Iph. Taur. 1025. σκότος λαβόντες. Confer supra v. 505. ἐρημίας τυχών.

545. κιβδήλῳ. Primâ significatione de metallis dicitur, quæ dum coquerentur, non bene defæcata fuerunt; deinde de nummo adulterino dictum erat, ut ap. Aristoph. Ran. 721. νομίσματα κεκιβδηλευμένα, quo sensu usurpatur in Med. 516. Eleganter Attici *homines fraudulentos, specie bonos, quique aliud fronte et vultu præferant, aliud pectore tegant*, ὑποχάλκους et κιβδήλους appellant. Herod. Philet.

πολλοὶ γὰρ ὄντες εὐγενεῖς, εἰσὶν κακοί·
ὅμως δὲ χαίρειν τοὺς ξένους προσεννέπω.
ΟΡ. χαῖρ', ὦ γεραιέ· τοῦ ποτ', Ἠλέκτρα, τόδε
παλαιὸν ἀνδρὸς λείψανον φίλων κυρεῖ;
ΗΛ. οὗτος τὸν ἀμὸν πατέρ' ἔθρεψεν, ὦ ξένε.
ΟΡ. τί φῄς; ὅδ' ὃς σὸν ἐξέκλεψε σύγγονον;
ΗΛ. ὅδ' ἔσθ' ὁ σώσας κεῖνον, εἴπερ ἔστ' ἔτι.
ΟΡ. ἔα· τί μ' εἰσδέδορκεν, ὥσπερ ἀργύρου σκοπῶν
λαμπρὸν χαρακτῆρ', ἢ προσεικάζει μέ τῳ;
ΗΛ. ἴσως Ὀρέστου σ' ἥλιχ' ἥδεται βλέπων.
ΟΡ. φίλου γε φωτός· τί δὲ κυκλεῖ πέριξ πόδα;
ΗΛ. καὐτὴ τόδ' εἰσορῶσα, θαυμάζω, ξένε.
ΠΡ. ὦ πότνι', εὔχου, θύγατερ Ἠλέκτρα, θεοῖς.
ΗΛ. τί τῶν ἀπόντων, ἢ τί τῶν ὄντων πέρι;

547. *προσεννέπω.* Salutantis alloquium hoc verbo hic et sæpius significatur, ut Æsch. Agam. 170. Soph. Aj. 857. Eur. Hipp. 793. Hel. 1181. Ion. 1613.

550. *ἀμόν.* De hac voce ita Brunck. ad Eur. Andr. 1171. "*ἀμὸς* Doricum est pro *ἡμέτερος*, *ἀμὸς* Atticum pro *ἐμός*." Hinc in Eur. Hel. 538. Ed. Barnes. *πόσιν τὸν ἀμὸν* corrigi debet *ἀμὸν*.

551. *ἐξέκλεψε.* Vulgo *ἐξέθρεψε.* Ita dedi ex optimâ Piersoni conjecturâ Veris. p. 241. quam laudat Seidlerus.

552. *ἔστ' ἔτι.* *superest adhuc.* *ἔστι* pro *ζῇ* ut supr. v. 347. q. v. Hinc apud Hom. Il. B. 119. *οἱ ἐσσόμενοι* de *posteris* dicitur. Aliquando *esse* similem habet significationem ap. Latinos, ut Virg. Æn. VI. 870. *Ostendent terris hunc tantum fata, neque ultra* esse *sinent.* Sic auctor Eleg. in obitum Mæcen. "*Mollibus ex oculis aliquis tibi decidet humor, Cum dicar subitâ voce* fuisse *tibi.* Ita quoque Tibull. El. III. 53. *Vivite felices, memores et vivite nostri, sive erimus, seu nos fata* fuisse *volent.*

559. *ἀπόντων.* Confert Seidler. Soph. Elect. 305. *τὰς οὔσας τ' ἐμοῦ καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.* Ex interrogativo *τί* feci cum Seidlero indefinitum, ut et infra v. 652.

ΠΡ. λαβεῖν φίλον θησαυρὸν, ὃν φαίνει θεός.
ΗΛ. ἰδοὺ, καλῶ θεούς· ἢ τί δὴ λέγεις, γέρον;
ΠΡ. βλέψον νυν εἰς τόνδ', ὦ τέκνον, τὸν φίλτατον.
ΗΛ. πάλαι δέδοικα, μὴ σύγ' οὐκ ἔτ' εὖ φρονῇς.
ΠΡ. οὐκ εὖ φρονῶ 'γὼ σὸν κασίγνητον βλέπων;
ΗΛ. πῶς εἶπας, ὦ γεραί', ἀνέλπιστον λόγον;
ΠΡ. ὁρᾷν Ὀρέστην τόνδε τὸν Ἀγαμέμνονος.
ΗΛ. ποῖον χαρακτῆρ' εἰσιδὼν, ᾧ πείσομαι;
ΠΡ. οὐλὴν παρ' ὀφρῦν, ἥν ποτ', ἐν πατρὸς δόμοις
νεβρὸν διώκων σοῦ μέθ', ᾑμάχθη πεσών.
ΗΛ. πῶς φῄς; ὁρῶ μὲν πτώματος τεκμήριον.
ΠΡ. ἔπειτα μέλλεις προσπιτνεῖν τοῖς φιλτάτοις;

560. λαβεῖν. Conjicit Musgr. λαύειν, vel κράτειν. At vero mutatione nibil opus. Nondum enim, ut rectè inquit Seidlerus, Electra fratrem *acceperat*, quippe quæ eum nondum agnovisset.

566. ὁρᾶν. Ita Seidl. a MS. pro vulgato ὁρῶν. Infinitivus pendet a suppresso εἶπον.

568. οὐλήν. Οὐλὴ nota vulneris ad sanitatem perducti, quæ Latinis uno nomine dicitur cicatrix. Angl. *A scar*. Vox est Ionica pro ὀλὴ, quæ tamen ab Ionum usu in communem jam olim venit. A voce οὖλος pro ὅλος derivatur, de quâ etiam fortasse fluxit vox Anglica "*whole.*" Porro, differentiam inter οὐλὴ et ὠτειλὴ juvenes notent, ab Ammonio explicatam. οὐλὴ est ἡ ὑγιασμένη σάρξ ἐκ παλαιοῦ τραύματος· ὠτειλὴ verò τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. Porro, eadem est ἀναγνώρισις ap. Hom. Od. τ. 392. αὐτίκα δ' ἔγνω Οὐλὴν τὴν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι, ad quem locum respexit Aristot. περὶ ποίητ' χ'.

571. ἔπειτα. i. e. ἐπεὶ τὰ, *postea*, quasi scriptum esset *post ea*. Ad eandem normam referuntur particulæ ἐὰν quasi εἰ ἂν, ὅταν quasi ὅτ' ἂν, et similia, quæ indicavit censor Trimestris (Q. R. XVIII. p. 353).

Ibid. μέλλεις. *Cunctaris*, quo sensu occurrit in Prom. 648. Agam. 1355. Soph. Œd. Col. 219. 1337. 1627. Antig. 499. quæ monuit Blomfieldius. Adde Demosth. Phil. 4. τί ἀναδυόμεθα; ἢ τί μέλλομεν; Herodian. aliquoties μέλλειν et ὀκνεῖν copulat.

Ibid. προσπιτνεῖν. *Amplecti*, ut Iph. A. 1191. προσπεσεῖ τέκνοισι

ΗΛ. ἀλλ' οὐκ ἔτ', ὦ γεραιέ· συμβόλοισι γὰρ
τοῖς σοῖς πέπεισμαι θυμόν· ὦ χρόνῳ φανεὶς,
ἔχω σ' ἀέλπτως. ΟΡ. κἀξ ἐμοῦ γ' ἔχει χρόνῳ.
ΗΛ. οὐδέποτ' ἐδόξασ'. ΟΡ. οὐδ' ἐγὼ γὰρ ἤλπισα.
ΗΛ. ἐκεῖνος εἶ σύ; ΟΡ. σύμμαχός γέ σοι μόνος,
ἢν ἐκσπάσωμαί γ', ὃν μετέρχομαι, βόλον.
πέποιθα δ', ἢ χρὴ μηκέθ' ἡγεῖσθαι θεοὺς,
εἰ τἄδικ' ἔσται τῆς δίκης ὑπέρτερα.
ΧΟ. ἔμολες, ἔμολες, ὦ χρόνιος ἁμέρα·
κατέλαμψας, ἔδειξας ἐμφανῆ
πόλει πυρσόν· ὃς παλαιᾷ φυγᾷ
πατρῴων ἀπὸ δωμάτων

σοῖς; Soph. Philoct. 485. προσπιτνῶ σε γόνασι. Barnes. et Musgr. habent προσπιπτνεῖν, quod non intelligo.

Ibid. τοῖς φιλτάτοις. Poetæ *parentes*, *fratrem*, *uxorem*, præsertim *liberos* vocare solent elegantissimè τὰ φίλτατα. Hoc post Valckn. observavit Cl. Monk. ad Hipp. 969. Exemplis ibi congestis addi possunt Nostri Iph. A. 744. ἐπὶ τοῖσι φιλτάτοις τέχνας πορίζω, et Soph. Electr. 1208. μὴ 'ξέλῃ τὰ φίλτατα. Hoc apud solutæ orationis scriptores rarius. Est tamen εἰ τὰ φίλτατα παρείη apud Xenoph. K. Π. IV. 3. 1. Ed. Schneid. et τὰ φίλτατα οἰκτρῶς προκείμενα Lucian. II. p. 154. quæ loca indicavit Valckenaerius.

575. οὐδέποτ' ἐδόξασ'. Musgravius vult οὐδέποτε δόξασ', quod stare potest. Vulgatam autem præfero ob proximum ἤλπισα in Orestis responsione.

578. ἡγεῖσθαι θεοὺς dixit etiam Noster Bacch. 1327. et Aristoph. Eq. 32. quæ monuit Porsonus. Adde Bacch. 1296.

579. ὑπέρτερα. Suid. exponit κρεῖττονα, ut Soph. Antig. 16. οὐδὲν οἶδ' ὑπέρτερον, et 642. μαντέων ὑπέρτερον. Hom. Il. Λ. 290. Ἴν' ὑπέρτερον εὖχος ἄρησθε, *ut præstantiorem et majorem gloriam referatis*.

580. ἔμολες, ἔμ. Hujusmodi repetitiones Euripides frequentabat, præsertim, puto, cum insperatum gaudium, dolorem, vel insigniores animi motus voluit exprimere. Conf. Phœn. 302. ἔβας, ἔβας, ὦ χρόνῳ γᾶν πατρῴαν, et 1033. Vide autem supra ad v. 113.

τάλας ἀλαίνων ἔβα.
σὲ θεὸς αὖ θεὸς ἁμετέραν τὶς ἄγει
νίκαν, ὦ φίλα.
ἄνεχε χέρας, ἄνεχε λόγον, ἵει
λιτὰς εἰς θεοὺς,
τύχᾳ σοὶ τύχᾳ
κασίγνητον ἐμβατεῦσαι πόλιν.
ΟΡ. εἶεν· φίλας μὲν ἡδονὰς ἀσπασμάτων
ἔχω· χρόνῳ δὲ καὖθις αὐτὰ δώσομεν.
σὺ δ', ὦ γεραιὲ, καίριος γὰρ ἤλυθες,
λέξον, τί δρῶν ἂν φονέα τισαίμην πατρὸς,

584. ἔβα. Σέ. Seidlerum sequor, qui ita scribit pro vulgari ἔβασε. Σὲ intelligit V. D. de Oreste, quod etiam suadet vox αὖ in sequenti versu. Namque αὖ aliquando ponitur pro πάλιν, atque hinc Harpocr. ait Αὖ, Δημοσθένης ἀντὶ τοῦ πάλιν ἐν τῷ κατ' Ἀφόβου πρώτῳ. Exempla vide Il. A. 540. Φ. 394. ubi tamen Clarkius το αὖ putavit esse παραπληρωματικόν. Hinc αὖ ἄγειν est *reducere*, "to bring back." Seidlerus, puncto posito post νίκαν, reliquam orationem ad Electram dirigi arbitratur.

587. ἄνεχε. *Tolle.* Hæc vox diversis in locis diversam habet acceptationem, et modo *retinere*, modo *tollere* significat. In eundem modum ἀνάγειν tum *reducendi*, tum *sursum ducendi* significationem habet. Ita ἀνασκευάζειν infra v. 597, nunc *destruendi*, nunc *rursum struendi* sensu accipitur.

591. εἶεν. *Esto!* Formula est antecedentia concedentis, sed ita, ut quædam correctio adhibeatur, quæ statim additur. Huic fortasse respondet Anglorum interjectio *Well!* quam fere sequitur adversandi seu corrigendi particula *but;* atque ita δὲ, ἀλλὰ, vel tale aliquid τὸ εἶεν plerumque sequitur. Exempla dedit Herm. ad Vig. de Idiotismis p. 187.

594. φονέα. Pors. ad Hec. 876. inquit, "Ultimam hujus vocis quæ ex Grammaticorum monito produci debebat, ter corripit Euripides, hic et Electr. 599. 763." (Ed. nostr. 758.) Quod forte illi, more Ionum, licuit, uti observavit Piers. ad Mœr. p. 192. Attici tamen hujus declinationis accusativi, genitivorum analogiam sequentes, ultimam producunt, quâ de re vide Clark. ad Il. A. 265. Suid. v. Ἀτρέα, et Etymol. Magn. v. βασιλέα.

μητέρα τε τὴν κοινωνὸν ἀνοσίων γάμων.
ἔστιν τί μοι κατ' Ἄργος εὐμενὲς φίλων;
ἢ πάντ' ἀνεσκευάσμεθ', ὥσπερ αἱ τυχαί;
πῶς ξυγγένωμαι; νύχιος, ἢ καθ' ἡμέραν;
ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς;
ΠΡ. ὦ τέκνον, οὐδεὶς δυστυχοῦντί σοι φίλος.
εὕρημα γὰρ τὸ χρῆμα γίγνεται τόδε,
κοινῇ μετασχεῖν τἀγαθοῦ καὶ τοῦ κακοῦ.
σὺ δ', ἐκ βάθρων γὰρ πᾶς ἀνήρησαι φίλοις,
οὐδ' ἐλλέλοιπας ἐλπίδ', ἴσθι μου κλύων·
ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις, καὶ τῇ τύχῃ,
πατρῷον οἶκον καὶ πόλιν λαβεῖν σέθεν.

596. *τί—εὐμενὲς φίλων.* Pro *εὐμενεῖς φίλοι.* Neutrum pro Masculino Atticis perinde atque Ionibus familiare loquendi genus, cujus exempla sunt Æsch. Pers. 1. *τάδε μὲν Περσῶν.* Eum. 490. *ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα.* Eur. Hec. 794. *πρῶτα τῶν ἐμῶν φίλων,* (ubi tamen Porsonus vult *πρῶτος ὤν*) *τὰ πρῶτα Ἀθηναίων* Lucian. Timon. §. 35.

597. *ἀνεσκευάσμεθ'.* Suid. exponit *destruimur, evertimur.* *τῆς τραπέζης ἀνασκευασθείσης* occ. ap. Demosth. *πρὸς Ἀπατούριον,* atque a Suid. exponitur *ἀναστάτου γενομένης,* ut ap. Platon. *ἀνάστατον ὅλην Σικελίαν γίνεσθαι.*

598. *νύχιος.* Pro *κατὰ νύκτα.* Loquendi forma, tum apud Græcos, tum apud Latinos frequentissima, quibus adjectiva temporis adverbii usum præstant. Exempla sunt *Δι' ἄλα νύχιον,* Med. 215. *πανημέριος πολεμίζει.* Hom. Il. T. 168. *Vespertinus* ursus. Hor.—Lupus *nocturnus.* Virg. Cui loquendi rationi idioma nostrum apprimè convenit. *Πῶς* pro *τῷ* in hoc versu restituit Porsonus.

605. *χειρί.* i. e. *potestate,* quam significationem sæpe *manus* habet apud Latinos, ut Virg. " Ante oculos interque *manus* sunt omnia vestras." Aliam habet acceptationem infr. v. 624. Confer Soph. Elect. 1090. *Ζώῃς μοι καθύπερθεν χερὶ Πλούτῳ τε τῶν ἐχθρῶν, ὅσον Νῦν ὑπὸ χεῖρα ναίεις.*

606. *Σέθεν.* Pro *σοῦ,* ut *ἐμέθεν* pro *ἐμοῦ,* quod tamen, teste Marklando, nunquam in Iambis occurrit.

ΟΡ. τί δῆτα δρῶντες, τοῦδ' ἂν ἐξικοίμεθα;
ΠΡ. κτανὼν Θυέστου παῖδα, σήν τε μητέρα.
ΟΡ. ἥκω 'πὶ τόνδε στέφανον, ἀλλὰ πῶς λάβω;
ΠΡ. τειχέων μὲν ἐλθὼν ἐντὸς, οὐδ' ἂν εἰ θέλοις.
ΟΡ. φρουραῖς κέκασται, δεξιαῖς τε δορυφόρων;
ΠΡ. ἔγνως· φοβεῖται γάρ σε, κοὐχ εὕδει σαφῶς.
ΟΡ. εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον.
ΠΡ. κἀμοῦ γ' ἄκουσον, ἄρτι γάρ μ' εἰσῆλθέ τι.
ΟΡ. ἐσθλόν τι μηνύσειας, αἰσθοίμην δ' ἐγώ.
ΠΡ. Αἴγισθον εἶδον, ἡνίχ' εἷρπον ἐνθάδε.
ΟΡ. προσηκάμην τὸ ῥηθὲν, ἐν ποίοις τόποις;
ΠΡ. ἀγρῶν πέλας τῶνδ', ἱπποφορβίων ἔπι.
ΟΡ. τί δρῶνθ'; ὁρῶ γὰρ ἐλπίδ' ἐξ ἀμηχάνων.
ΠΡ. νύμφαις ἐπόρσυν' ἔροτιν, ὡς ἔδοξέ μοι.
ΟΡ. τροφεῖα παίδων, ἢ πρὸ μέλλοντος τόκου;
ΠΡ. οὐκ οἶδα πλὴν ἓν, βουσφαγεῖν ὡπλίζετο.
ΟΡ. πόσων μετ' ἀνδρῶν; ἢ μόνος δμώων μέτα;

609. ἥκω. *veni*, non *venio*, ut rectè monet Dawes. M. C. p. 49.

613. εἶεν. De potestate hujus particulæ vide supra ad v. 591.

616. ἡνίχ'. Vocem ἡνίκα sine ἂν non nisi cum indicativo ponere Euripidem notat Markl. ad Iph. Taur. 347.

Ibid. εἷρπον. ἕρπειν, primo περὶ ἀπόδων ζώων, deinde de incessu anili dicitur, atque idem valet ac ἔρχεσθαι. Exèmpla cuique sæpe inter legendum obvia.

620. ἔροτιν. Ita Musgr. ex MSS. pro vulgari ἑορτὴν, ruente metro. Sunt qui ἔροτιν vocem putant Æolicam. Agnoscitur tamen, neque ut Æolica notatur, ab Etymologo, p. 379, 31. Musgr.

622. ὡπλίζετο. *instruebat se necessariis instrumentis*. Apud antiquiores nomen ὅπλον generale erat de quibusvis instrumentis, ad opus aliquod accommodatis.

623. μόνος. Markl. ad Iph. T. 898. suspicatur μόνος non semper

ΠΡ. *οὐδεὶς παρῆν Ἀργεῖος, οἰκεία δὲ χείρ.*
ΟΡ. *ἦπου τις, ὅστις γνωριεῖ μ' ἰδὼν, γέρον;*
ΠΡ. *δμῶες μέν εἰσιν, οἳ σέ γ' οὐκ εἶδόν ποτέ.*
ΟΡ. *ἡμῖν δ' ἂν εἶεν, εἰ κρατοῖμεν, εὐμενεῖς.*
ΠΡ. *δούλων γὰρ ἴδιον τοῦτο, σοὶ δὲ σύμφορον.*
ΟΡ. *πῶς οὖν ἂν αὐτῷ πλησιασθείην ποτέ;*
ΠΡ. *στείχων, ὅθεν σε βουθυτῶν ἐσόψεται.*
ΟΡ. *ὁδὸν παρ' αὐτὴν, ὡς ἔοικ', ἀγροὺς ἔχει.*
ΠΡ. *ὅθεν γ' ἰδών σε δαιτὶ κοινωνὸν καλεῖ.*
ΟΡ. *πικρόν γε συνθοινάτορ', ἢν θεὸς θέλῃ.*
ΠΡ. *τοὐνθένδε πρὸς τὸ πίπτον αὐτὸς ἐννόει.*
ΟΡ. *καλῶς ἔλεξας· ἡ τεκοῦσα δ' ἐστὶ ποῦ;*
ΠΡ. *Ἄργει· παρέσται δ' ἐν πόσει θοίνην ἔπι.*
ΟΡ. *τί δ' οὐχ ἅμ' ἐξωρμᾶτ' ἐμὴ μήτηρ πόσει;*

significare *solus*, sed interdum *præcipuus*, *eximius*, quo sensu in h. l. accipi potest.

624. *οικεία δὲ χείρ. χείρ* pro *φάλαγξ*, ut Virg. Æn. 6. 660. "Hic *manus* ob patriam pugnando vulnera passi." Barnes. Anglicè diceremus, *A handful of domestics*.

631. *παρ'*. Vulgo *γαρ*, quod primus correxit Piers. Veris. 244.

632. *ὅθεν γ' ἰδών*. Hoc *γ'*, quod in Edd. Vict. deest, inserendum vidit Piers. p. 245. Mos fuit, ad sacrificia obvium quemque adhibere; de quo vide Hom. Odyss. Γ. sub initium. Hinc Trygæus in Aristoph. Pace. v. 1115. spectatoribus inquit, *Ἄγε δὴ θεαταὶ δεῦρο συσπλαγχνεύετε Μετὰ νῶν*. *Musgr.*

634. *πρὸς τὸ πίπτον*. Anglicè vertas, *As things fall out*, prout res ceciderit. Confer Med. 54. *τὰ δεσποτῶν Κακῶς πιτνοῦντα* et 229. *ἄελπτον πρᾶγμα προσπεσόν*. Confer et Alcest. 1100. Æsch. Agam. 32. Pers. 767.

636. *ἐν πόσει*. Monk. legendum conjicit *ἐν ποσὶν* quæ phrasis occurrit Andr. 397. Iph. T. 1312. Lectionem, ut nunc est, suspectam habeo, sed nihil muto, nam *ἐν ποσὶν* de *personis* dictum non reperio. *τὰ ἐν ποσὶν* sunt *quælibet proxima atque obviam et quæcunque prima occurrunt*, quibus opponuntur *τὰ ἐκποδῶν*.

ΠΡ. ψόγον τρέμουσα δημοτῶν, ἐλείπετο.
ΟΡ. ξυνῆχ'· ὕποπτος οὖσα γιγνώσκει πόλει.
ΠΡ. τοιαῦτα· μισεῖται γὰρ ἀνόσιος γυνή.
ΟΡ. πῶς οὖν ἐκείνην τόνδε τ' ἐν ταὐτῷ κτενῶ;
ΗΛ. ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι.
ΟΡ. καὶ μὴν ἐκεῖνά γ' ἡ τύχη θήσει καλῶς.
ΗΛ. ὑπηρετείτω μὲν, δυοῖν ὄντοιν, τόδε.
ΠΡ. ἔσται τάδ'· εὑρίσκεις δὲ μητρὶ πῶς φόνον;
ΗΛ. λέγ', ὦ γεραιὲ, τάδε Κλυταιμνήστρᾳ μολών·
λεχώ μ' ἀπάγγελλ' οὖσαν ἄρσενος τόκῳ.
ΠΡ. πότερα πάλαι τεκοῦσαν, ἢ νεωστὶ δή;
ΗΛ. λέγ' ἡλίους, ἐν οἷσιν ἁγνεύει λεχώ.

640. τοιαῦτα. id. ac ναι· formula affirmantis quod dubiè posuerat Orestes. Eodem sensu hæc vox occurrit apud Nostrum in Hec. 764.

641. ἐν ταὐτῷ. i. e. *eodem tempore*, ut Lucian. Lexiph. 9. καὶ ἐν ταυτῷ λαλουμένοι εἰσεκώμασαν ἡμῖν, subaudito χρόνῳ.

643. καὶ μὴν γε. *At saltem, at vero.* Sæpissimè sequitur γε ut in hoc loco, Prom. 1021. Theb. 245. Pers. 260. Soph. Antig. 221. quæ adduxit Blomfieldius ad Prom. 1018. Nunquam vero sine alio verbo interposito. De usu particularum καὶ μήν, vide Elmsl. ad Heracl. 119.

Ibid. θήσει καλῶς. h. e. *ad felicem exitum perducet.* τάμ' ἐγὼ θήσω καλῶς occurrit Iph. A. 401. Sic ἕως ἂν τὸν πόλεμον εὖ θῶνται, *donec bellum feliciter administrassent.* Thucyd. VIII. 84.

648. δή. Notabis particulam δὴ, cum significatione uti videtur, ironicâ vel irrisoriâ, ut *nimirum* et *scilicet* Latinis; *id populus curat scilicet,* Terent. Sic Iph. A. 1338. ὡς φόνον νίζουσα δή; *quasi cædem abluens scilicet.* Sic et Æsch. Prom. 954. Soph. Antig. 731. ubi Creon indignabundus dicit, Οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ φρονεῖν; *docebimurne scilicet sapere?* Idem usus particulæ δὴ in Plutarch. vit. Æmil. p. 271. et passim. Markl. ad Supp. 521.

649. λεχώ. i. e. puerpera, quæ et τοκάς. Oppian de venatione lib. 3. Ἡ δὲ λεχώ περ ἐοῦσα καὶ ἀσθενέουσα τόκοισι, Παιδὶ λύγρῳ πολεμιζομένῳ μήτηρ ἐπαμύνει. Apud Nonnium legitur et λεχωὶς γυνὴ, mulier ex partu decumbens. Λεχὼ, Ἀττικως, λοχὸς, Ἑλληνικῶς. Mœr. Att. Præterea cæremoniæ et purificationes ob

ΠΡ. καὶ δὴ τί τοῦτο μητρὶ προσβάλλει φόνον;
ΗΛ. ἥξει κλύουσα λόχι' ἐμοῦ νοσήματα.
ΠΡ. πόθεν; τί δ' αὐτῇ σοῦ μέλειν δοκεῖς, τέκνον;
ΗΛ. ναί· καὶ δακρύσει γ' ἀξίωμ' ἐμῶν τόκων.
ΠΡ. ἴσως· πάλιν τοι μῦθον εἰς καμπὴν ἄγε.
ΗΛ. ἐλθοῦσα μέντοι δῆλον ὡς ἀπόλλυται.
ΠΡ. καὶ μὴν ἐπ' αὐτάς γ' εἰσιῶ δόμων πύλας.
ΗΛ. οὐκοῦν τραπέσθαι σμικρὸν εἰς ᾅδου τόδε.
ΠΡ. εἰ γὰρ θάνοιμι τοῦτ' ἰδὼν ἐγώ ποτε.
ΗΛ. πρώτιστα μὲν νῦν τῷδ' ὑφήγησαι, γέρον.
ΠΡ. Αἴγισθος ἔνθα νῦν θυηπολεῖ θεοῖς;
ΗΛ. ἔπειτ' ἀπαντῶν μητρὶ τἀπ' ἐμοῦ φράσον.

puerperium susceptæ de legibus Mosaicis derivatæ Romanis etiam in usum venerunt. Macrob. Sat. I. 16. inquit, " Est Nundina Romanorum Dea, a nono nascentium die nuncupata, qui lustricus dicitur; est autem dies lustricus, quo infantes lustrantur, et nomen accipiunt."

654. *εἰς καμπὴν ἄγε.* Ita pro vulgato *ἄγω*, cum Musgravio et Jortino recepit Seidlerus. *Καμπὴ, συστροφή, καὶ κάμπιος δρόμος, οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων.* Sch. in Arist. Pac. 904. Proprie *καμπαὶ* flexus sunt, qui fiebant post evitatam metam ad carceres. *Κάμπη* vero, accentu in priorem retracto *eruca* significat.

656. *εἰσιῶ.* Vulgo *εἰσίω.* Seidlerum sequor, qui inquit, *Εἰσιῶ* conjunctivus est verbi *εἰσίημι.* Verte, *Atqui*, (equidem non deero, sed) *in ipsas ædium portas* (illam) *immittam*, (introducam).

657. Hæc, ut opinor, nemo præter Seidlerum intellexit. V. D. ita interpretatur: *οὐκοῦν σμικρὸν (ἐστὶ) τραπέσθαι τόδε (δηλονότι ὃ λέγεις* ΕΙΣ ΔΟΜΩΝ *πύλας, ὥστε εἶναι)* ΕΙΣ ΑΙΔΟΥ. Facile igitur est, parva mutatio est, si quod dicis *εἰς δόμων πύλας*, mutamus, ut sonet *εἰς ᾅδου* scil. *πύλας.* Similis lusus est in Soph. Antig. 567. *ἀλλ'* ἩΔΕ *μέντοι μὴ λέγε.* Seidler.

658. *εἰ γάρ.* *Utinam* exprimitur per *εἰ γὰρ*, vel *εἴθε*, rarius per *εἰ* solum (Œd. Tyr. 863.) nunquam vero per *εἴθε γὰρ* quod Blomfieldii sententiâ vix satis Græcè dicitur. Locus huic gemellus est apud nostrum in Orest. 1098. *ὦ φίλτατ', εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών.*

ΠΡ. *ὡς ταῦτά γ' ἐκ σοῦ στόματος εἰρῆσθαι δοκεῖν.*
ΗΛ. *σὸν ἔργον ἤδη· πρόσθεν εἴληχας φόνου.*
ΟΡ. *στείχοιμ' ἄν, εἴ τις ἡγεμὼν γίγνοιθ' ὁδοῦ.*
ΠΡ. *καὶ μὴν ἐγὼ πέμποιμ' ἂν οὐκ ἀκουσίως.*
ΟΡ. *ὦ Ζεῦ πατρῷε, καὶ τροπαῖ' ἐχθρῶν ἐμῶν,*
οἴκτειρ' ἔθ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν.
ΗΛ. *οἴκτειρε δῆτα σοῦ γε φύντας ἐκγόνους.*
ΟΡ. *Ἥρα τε, βωμῶν ἣ Μυκηναίων κρατεῖς,*
νίκην δὸς ἡμῖν, εἰ δίκαι' αἰτούμεθα.
ΗΛ. *δὸς δῆτα πατρὸς τοῖσδε τιμωρὸν δίκην.*
ΟΡ. *σύ τ', ὦ κάτω γῆς ἀνοσίως οἰκῶν, πάτερ,*
ἄμυν', ἄμυνε τοῖσδε φιλτάτοις τέκνοις.
καὶ γῆ τ' ἄνασσα, χεῖρας ᾗ δίδωμ' ἐμὰς,
νῦν πάντα νεκρὸν ἐλθὲ σύμμαχον λαβὼν,

666. *πατρῷε.* Apollinem *πατρῷον* Athenis cultum, non autem Jovem, tradit Plato in Euthydemo p. 302. cujus hæc sunt verba. *Εἶτα τοῖς ἄλλοις (ἔφη) Ἀθηναίοις οὐκ ἔστι* ΖΕΥΣ Ο ΠΑΤΡΩΟΣ; *οὐκ ἔστιν (ἦν δ' ἐγὼ) αὕτη ἡ ἐπωνυμία Ἰώνων οὐδενὶ, οὐδ' ὅσοι ἐκ τῆσδε τῆς πόλεως ἀπῳκισμένοι εἰσίν.* ΟΥΔΕ ΗΜΙΝ· *ἀλλ' Ἀπόλλων πατρῷος διὰ τὴν τοῦ Ἴωνος γένεσιν. Ζεὺς δ' ἡμῖν* ΠΑΤΡΩΟΣ ΟΥ ΚΑΛΕΙΤΑΙ, *Ερκειος δὲ καὶ φράτριος.* Quare autem Tragici *Δία πατρῷον* tam sæpe ingessere, egregie, ut solet, explicat Pors. ad Med. 1314.

Ibid. *τροπαῖ'.* Barnesius et Musgravius citant de Jove *τροπαίῳ* nostri Heracl. 867, et 937. Quibus addi possunt *Ζηνὶ τροπαίῳ* Soph. Antig. 147. et *Ζεῦ τροπαῖε.* Trach. 303. " Jupiter autem Tropæus dicitur, (ut etiam Juno Tropæa,) vel propter dedicationem spoliorum, (de quo vide Virg. Æn. XI, 5.) vel ut in h. l. quod hostes in fugam vertat; unde a Schol. in Soph. Trach. *τροπαῖος* exponitur *ἀποτρέπτικος, ἀλεξίκακος.*"

674. *καὶ γῆ.* Si quid mutandum, legerim *δίκη* ingeniosâ Tyrwhitti conjecturâ. At mutationis haud opus, si cum Seidlero horum versuum ordinem transponamus. Nam in Edd. hic versus prior est. Veram autem

οἵπερ γε σὺν σοὶ Φρύγας ἀνάλωσαν δορὶ,
χὤσοι στυγοῦσιν ἀνοσίους μιάστορας.
ἤκουσας, ὦ δείν' ἐξ ἐμῆς μητρὸς παθών·
ΗΛ. πάντ', οἶδ', ἀκούει τάδε πατήρ· στείχειν δ' ἀκμή.
καὶ σοὶ προφωνῶ πρὸς τάδ' Αἴγισθον θανεῖν·
ὡς εἰ παλαισθεὶς πτῶμα θανάσιμον πεσεῖ,
τέθνηκα κἀγὼ, μηδέ με ζῶσαν λέγε.
παίσω κάρα γὰρ τοὐμὸν ἀμφήκει ξίφει.
δόμων δ' ἔσω βᾶσ', εὐτρεπὲς ποιήσομαι.
ὡς, ἢν μὲν ἔλθῃ πύστις εὐτυχὴς σέθεν,
ὀλολύξεται πᾶν δῶμα· θνήσκοντος δὲ σοῦ,

transpositionem esse, eo minus dubitandum inquit V. D. quod etiam in proximis versuum confusio est.

676. ἀνάλωσαν. Vulgo ἀνήλωσαν. Sic dedi, Valckenaerium secutus ad Phœn. 591. ubi inquit, "Veteres Attici α longum naturâ, non mutabant in η per augmentum.

677. "Malè hic versus vulgo post sequentem ponitur. Transponendum esse viderunt Reiskius et Tyrwhittus." Seidl.

679. ἀκμή. Propriè *Cuspis* sive *Acies*, deinde per metaphoram *punctum temporis* quo res aliqua debet agi, quo sensu occurrit hic, et Soph. El. 22. οὐκέτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή. Ita Aristoph. Plut. 256. ὁ καιρὸς οὐχὶ μέλλειν, Ἀλλ' ἐστ' ἐπ' αὐτῆς τῆς ακμῆς.

682. ζῶσαν. Emphatica repetitio, quam Attici adamaverunt. Exempla adeas Orest. 605. ἑκοῦσαν, οὐκ ἄκουσαν. Iph. A. 399. ἄνομα δρῶντα, κ'οὐ δίκαια. Cycl. 210. βλέπετ' ἄνω, καὶ μὴ κάτω. Vide etiam infra 775. 1052.

684. εὐτρεπές. *expeditum.* i. e. τὸ ξίφος, ut rectè explicat Barnesius.

686. ὀλολύξεται. Hæc vox, ut antiquissimi utuntur, ad sacra propriè pertinet, sed non uno modo Latinè semper exprimenda. Clamorem enim et inusitatam, nisi in sacris, vocis intentionem in precando significat, sive gratias agimus ob res lætas, seu Deorum opem in adversis imploramus. In Æsch. Sept. c. Theb. 831. ὀλολύζω cum χαίρω junctum, opponitur τῷ κλαίειν. In Aristoph. Ἱππ. 1324. ὀλολύξατε, ubi Schol. εὔξασθε, ἀνευφημήσατε. In Eιρ. 96. ὀλολύζειν exponitur τὸ μετὰ κραυγῆς εὔχεσθαι, ubi Flor. Christ. inquit. "Etiam pro eodem dicebant παιανίζειν, quamquam scio

τἀναντί' ἔσται τῶνδε· ταῦτά σοι λέγω.
ΟΡ. πάντ' οἶδα. ΗΛ. πρὸς τάδ' ἄνδρα γίγνεσθαί σε χρή.
ὑμεῖς δέ μοι, γυναῖκες, εὖ πυρσεύετε
κραυγὴν ἀγῶνος τοῦδε· φρουρήσω δ' ἐγὼ,
πρόχειρον ἔγχος χειρὶ βαστάζουσ' ἐμῇ·
οὐ γάρ ποτ' ἐχθροῖς τοῖς ἐμοῖς, νικωμένη,
δίκην ὑφέξω σῶμ' ἐμὸν καθυβρίσαι.
ΧΟ. ἀταλᾶς ὑπὸ ματέρος   στροφὴ ά.

differre. Nam bellatrici Minervæ ὀλολύζουσι· cæteris Diis παιανίζουσι, quod est propriè vocem intendere et remittere.

689. πυρσεύετε κραυγὴν. Hoc est, *tumultum*, qui a luctantibus (Oreste et Ægistho,) orietur, mihi indicate. Reisk. Apud Suidam πυρσεύω σοι τὴν σωτηρίαν ponitur pro ἐκφαίνω, seu δεικνύω, sumptâ metaphorâ a φρυκτωροῖς qui in speculis sublatâ face navigantibus aut errantibus noctu, ostendunt quo cursum dirigant.

691. ἔγχος. Rectè Brunckius ad Ajac. 658. το ἔγχος hic *gladium* significare putat, Electræ verba respiciens supra v. 693. Eodem sensu accipitur hæc vox in Phœn. 1422. et sæpe apud Sophoclem; apud Homerum cæterosque poetas *hastam* plerumque significat.

694. De fabulâ, quæ in hoc carmine narratur, ita Schol. ad Orest. 810. Πέλοπος Ἀτρεὺς καὶ Θυέστης ἦσαν υἱοί. Ἀτρεὺς δὲ τὸν ἀμφιμήτριον ἀδελφὸν, Χρύσιππον, ἀγαπώμενον ἀμέτρως ὑπὸ τοῦ πατρὸς, αὐτὸν φθονήσας, εἰς φρέαρ ἀποπνίγει. ὁ μαθὼν Πέλοψ, ἐξώρισεν αὐτόν. ὕστερος δὲ μετὰ θάνατον Πέλοπος ἐπανῆλθε, καὶ ἑκάτερος αὐτῶν τῆς βασιλείας ἀντεποιεῖτο· Ἀτρεὺς μὲν, ὡς πρῶτος ὢν κατὰ νόμους· Θυέστης δὲ τοῖς νόμοις ἐναντιούμενος. συνέθεντο οὖν, εἴ τις αὐτῶν δείξῃ τὶ τέρας, κύριος ἔσεσθαι τῆς ἀρχῆς. ἐν τοῖς ποιμνίοις δὲ τοῦ Ἀτρέως εὕρηται χρυσοῦν ἀρνίον καὶ μέλλοντος Ἀτρέως δεῖξαι, τὸ τέρας τοῖς δικασταῖς, καὶ λαβεῖν τὴν ἀρχὴν, Ἀερόπη, γυνὴ τούτου, μοιχευομένη Θυέστῃ, τῷ ἀδελφῷ, κλέψασα τοῦτο παρέδωκεν αὐτῷ. Θυέστης δὲ λαβὼν τοῦτο, καὶ δείξας τοῖς δικασταῖς, τῆς ἀρχῆς ἐκράτησέ. μὴ ἀνασχόμενος οὖν Ἀτρεὺς, ἀλλὰ δυσχεραίνων, ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ὁμοῦ τε Ἀερόπην τιμωρεῖται κατ' ἄμφω, καὶ ὅτι ἐμοιχᾶτο Θυέστῃ, καὶ ὅτι κέκλοφε τὸ ἀρνίον, καὶ δέδωκεν αὐτῷ, ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, ὡς φησὶ Σοφοκλῆς, καὶ τοὺς τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχομενὸν, καὶ Κάλεον, ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ πατρὶ, καὶ αὐτὸν ὕστε-

'Αργείων ὀρέων ποτὲ κληδὼν
ἐν πολιαῖσι μένει φήμαις,
εὐαρμόστοις ἐν καλάμοις
Πᾶνα μοῦσαν ἡδύθροον
πνέοντ', ἀγρῶν ταμίαν,
χρυσέαν ἄρνα καλλιπλόκαμον πορεῦσαι.
πετρίνοις τ' ἐπι-
στὰς κάρυξ ἰάχει βάθροις,
ἀγορὰν, ἀγορὰν, Μυκη-
ναῖοι, στείχετε, μακαρίων
ὀψόμενοι τυράννων
φάσματα, δείματα·
χοροὶ δ' 'Ατρειδᾶν ἐγέραιρον οἴκους.

ρον ἀπέκτεινεν. δι' ἃ ὁ Ἥλιος μὴ στέρξας τὸ παράνομον, μίαν ἡμέραν ἐκ δυσμῶν πρὸς ἕω διφρεύει, σὺν αὐτῷ δὲ καὶ αἱ Πλειάδες τὴν ἐναντίαν ἐβάδισαν.

Ibid. Impeditam in initio hujus strophes constructionem, ita tollere vult Seidlerus. Construe, κληδὼν ἐν π. φ. μένει, Πᾶνα, ἀγρῶν ταμίαν, εὐαρ. εν καλ. μοῦσαν ἡδ. πνέοντα πορεῦσαί ποτε χρυσέαν ἄρνα καλλ. ὑπὸ ἀταλᾶς ματέρος (οὖσαν)'Αργείων ὀρέων. Hæc agna, inquit, mater dicitur fuisse 'Αργείων ὀρέων. i. e. τραφεῖσα ἐν'Αργείοις ὄρεσιν. Porro, montes Argivi a Pseudo-Plutarcho de fluviis, sic recensentur. Mycenæ, Apesantium, Coccygius, Athenæus.

697. εὐαρμόστοις. Ita Virg. Ecl. 2. 32. Pan primus calamos cerâ conjungere plures Instituit. Et Ov. Met. I. 711. calamis compagine ceræ Inter se junctis. In Aristoph. Ran. 233. Pan dicitur ὁ καλαμόφθογγα παίζων, ubi Schol. σύριγγι ἥδεται ὁ Πὰν, ἥτις ἐστὶν ἐκ καλάμων.

700. ἄρνα. Apud Cicer. de Nat. Deor. extant de hoc ariete antiqui poetæ carmina hujusmodi, (fortassis Attici in Atrea). *Addo huc quod mihi portento cælestum pater Prodigium misit regni stabilimen mei: Agnum inter pecudes aureâ clarum comâ Quondam Thyestem clepere ausum est e regiâ Quâ in re adjutricem conjugem cepit sibi.* Vide et Senecam in Thyest. 225.

706. Edidit Musgr. φασματ' ἀδεί-

θυμέλαι δ' ἐπίτναντο χρυ- ἀντιστροφὴ α'.
σήλατοι. σελαγεῖτο δ' ἀν' ἄστυ
πῦρ ἐπιβώμιον Ἀργείων.
λωτὸς δὲ φθόγγον κελάδει
κάλλιστον, Μουσᾶν θεράπων.
μολπαὶ δ' ηὔξοντ' ἐραταὶ,
χρυσέας ἀρνὸς, ὡς ἐστὶ λόγος, Θυέστου·
κρυφίαις γὰρ εὐ-
ναῖς πείσας ἄλοχον φίλαν
Ἀτρέως, τέρας ἐκκομί-
ζει πρὸς δώματα· νεόμενος
δ' εἰς ἀγόρους, ἀΰτει
τὰν κερόεσσαν ἔχειν
χρυσεόμαλλον κατὰ δῶμα ποίμναν.
τότε δὴ τότε φαεν- στροφὴ β'.
νὰς ἄστρων μετέβασ' ὁδοὺς

ματα. Rectè tamen Seidlerus a vulgatâ lectione recedere dubitat. Conjecit Herman. δείγματα, sed nihil opus mutationis.

708. θυμέλαι. *Altaria.* Hesych. θυμέλη. οὕτως ἔλεγον ἀπὸ τῆς θηλῆς (legit Barnes. θυηλῆς) τὸν βωμόν. Οἱ δὲ τὸ ἐπίπυρον, ἐφ' οὗ ἐπιθύουσιν, ἢ ἔδαφος ἱερόν. Priori sensu legitur in Ion. 228. πάριτ' εἰς θυμέλας.

Ibid. ἐπίτναντο. *extendebantur.* Πιτνεῖ. πίπτει. ἐκτείνει. Hesych. Musgr. explicat *aperiebantur*, quod durum videtur. Vult Seidl. ἐπίπλαντο, quam conjecturam, si quid mutandum judicaverim, libentissimè secutus essem.

714. ἐστὶ λόγος. Vulgo ἐπίλογοι. Seidlerum sequor, qui felicem, ut puto, emendationem in textum intulit.

721. ποίμναν. i. e. *arietem.* Eodem modo de unâ ove *pecus* dicitur ap. Latinos. "Caprino villo, quam *pecoris* velleri, propius." Plin. 8. 49.

723. μετέβασ'. Ita edidi ex conjecturâ Musgravii, pro vulgari μετα-

Ζεὺς, καὶ φέγγος ἀελίου,
λευκόν τε πρόσωπον ἀ-
οῦς. τὰ δ' ἕσπερα νῶτ' ἐλαύ-
νει θερμᾷ φλογὶ θεοπύρῳ.
νεφέλαι δ' ἔνυδροι πρὸς ἄρκ-
τον, ξηραί τ' Ἀμμωνίδες ἕ-
δραι φθίνουσ' ἀπειρόδροσοι,
καλλίστων ὄμβρων διόθεν στερεῖσαι.
λέγεται, τάδε δὲ πί- ἀντιστροφὴ β'.

βάλλει. Hic locus benè conferri potest cum Orest. 996. ἔρις τὸ πτερωτὸν Ἁλίου μετέβαλεν ἅρμα, τὰν πρὸς ἕσπεραν κέλευθον οὐρανοῦ προσαρμόσασα μονόπωλον εἰς ἀῶ, ἑπταπόρου τε δρομήμα Πελειάδος εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει.

725. *πρόσωπον ἀοῦς.* De hâc loquendi ratione fusius dictum est in Addendis ad ver. 1381. Vox λευκὸν ad cœli *serenitatem* spectat, eâdem significatione quâ *albus Japyx* occurrit ap. Hor. Od. III. 27. 20.

727. θερμᾷ, i. e. θερμὰ γενόμενα, θερμανθέντα, sive ὥςτε θερμὰ γενέσθαι, ut rectè explicat Seidlerus.

729. ξήραι. Huic epitheto ad amussim respondet Alcest. 115. ἀνύδρους Ἀμμωνίδας ἕδρας. Libyæ regio, "leonum *arida* nutrix," (Hor. I. 22. 16.) optimè depingitur a Q. Curtio. lib. iv. cujus verba in tironum gratiam exscribam. Inquit enim, *Iter expeditis quoque et paucis vix tolerabile ingrediendum erat;* terrâ cæloque aquarum penuria est; *steriles arenæ jacent; quas ubi vapor solis accendit, fervido solo exurente vestigia, intolerabilis æstus existit, luctandumque est, non tantum cum ardore et siccitate regionis, sed etiam cum tenacissimo sabulo, quod præaltum, et vestigio cedens, ægre moliuntur pedes.* Hactenus de regione circa oraculum. De ipso autem oraculo ita scribit. *Tandem ad sedem consecratam Deo ventum est. Incredibile dictu, inter vastas solitudines sita, undique ambientibus ramis, vix in densam umbram cadente Sole contecta est: multique fontes dulcibus aquis passim manantibus alunt silvas.* Quæ hodierni viatoris descriptioni apprime conveniunt. Vide Belzoni's *Narrative*, p. 414. &c.

730. ἀπειρόδροσοι. Ita pro vulgatâ lectione ἄπειροι δρόσου Bothius et Hermannus conjecerunt, et Seidlerus in textum intulit.

732. Ita versum hunc legi jubet Porsonus. Vulgo τὰν pro τάδε.

Ibid. τάδε δὲ πίστιν. κ. λ. Hoc

στιν σμικρὰν παρ' ἐμοί γ' ἔχει,
στρέψαι θερμὰν ἀελίου
χρυσωπὸν ἕδραν ἀλλά-
ξαντα δυστυχίᾳ βροτεί-
ῳ, θνατᾶς ἕνεκεν δίκας.
φοβεροὶ δὲ βροτοῖσι μῦ-
θοι κέρδος πρὸς θεῶν θεραπεί-
αις· ὧν οὐ μνασθεῖσα πόσιν
κτείνεις κλεινῶν ξυγγενέτειρ' ἀδελφῶν.
ἔα, ἔα· φίλαι, βοῆς ἠκούσατ', ἢ δοκὼ κενὴ
ὑπῆλθέ μ', ὥστε νερτέρα βροντὴ Διός;
ἰδού· τάδ' οὐκ ἄσημα πνεύματ' αἴρεται·
δέσποιν', ἄμειψον δώματ', Ἠλέκτρα, τάδε.
ΗΛ. φίλαι, τί χρῆμα; πῶς ἀγῶνος ἥκομεν;

membrum Anglicè verteremus, *But these things obtain little credit with me at least.* Vim animadvertant tirones particulæ γέ.

737. ἕνεκεν δίκας. *Judicii causâ,* i. e. propter vindictam quam illi fratres inter se exercuerunt.

742. δοκώ. Vox, ut puto, ἅπαξ λεγομένη, quam Heathius corruptam censet. Agnoscit tamen Maltbeius in Thesauro. Conferri potest, ut rectè notat Seidlerus, ἠχὴ, ἠχὼ, ἦχος, ἤχημα, ἤχησις, ita δόκη, δοκὼ, δόκος, δόκημα, δόκησις.

743. νερτέρα βροντή. Conferre libet nostri Hipp. 1215. Ἔνθέν τις ἠχὼ χθόνιος ὡς βροντὴ Διὸς βαρὺν βρόμον μεθῆκε. Sic χθονίοις βροντήμασι Prom. 992. Ζηνὸς βροντή. Odyss. Υ. 121. χθονίας βροντάς. Aristoph. Av. 1743. ubi ita Schol. Εὐφρόνιος "τὰς φοβεράς." πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογοῦσιν, οἱ δὲ, τὰς μέγαν ἦχον ἀποτελούσας, ἢ τὰς ἀπὸ τῆς γῆς γενομένας.

745. ἄμειψον. *Linque.* Sic enim in loco simili ap. Soph. Phil. 1262. ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας, exponit Scholiast. ἀμείψας, καταλιπών.

746. τί χρῆμα. Ang. *What is the matter?* Confer Or. 1589. Andr. 897. Æsch. Prom. 298. ubi rectè Schutzius, "Formula est rem

ΧΟ. οὐκ οἶδα, πλὴν ἕν, φόνιον οἰμωγὴν κλύω.
ΗΛ. ἤκουσα κἀγώ· τηλόθεν μὲν, ἀλλ' ὅμως.
ΧΟ. μακρὰν γὰρ ἕρπει γῆρυς, ἐμφανής γε μήν.
ΗΛ. Ἀργεῖος ὁ στεναγμὸς, ἢ φίλων ἐμῶν;
ΧΟ. οὐκ οἶδα· πᾶν γὰρ μίγνυται μέλος βοῆς.
ΗΛ. σφαγὴν ἀϋτεῖς τήνδε μοι· τί μέλλομεν;
ΧΟ. ἔπισχε, τρανῶς ὡς μάθῃς τύχας σέθεν.
ΗΛ. οὐκ ἔστι· νικώμεσθα· ποῦ γὰρ ἄγγελοι;
ΧΟ. ἥξουσιν· οὔ τοι βασιλέα φαῦλον κτανεῖν.

ΑΓΓΕΛΟΣ.

ὦ καλλίνικοι παρθένοι Μυκηνίδες,
νικῶντ' Ὀρέστην πᾶσιν ἀγγέλλω φίλοις,
Ἀγαμέμνονος δὲ φονέα κείμενον πέδῳ
Αἴγισθον· ἀλλὰ θεοῖσιν εὔχεσθαι χρεών.
ΗΛ. τίς δ' εἶ σύ; πῶς μοι πιστὰ σημαίνεις τάδε;
ΑΓ. οὐκ οἶσθ' ἀδελφοῦ μ' εἰσορῶσα πρόσπολον;

inexpectatam admirantis, cujus exempla multa occurrunt."

748. ἀλλ' ὅμως. Subauditur ἤκουσα. Hoc membrum ita redderent Nostrates, *A good way off indeed, but nevertheless I heard it.* De vi particularum ἀλλ' ὅμως adeas Herm. ad Vig. p. 340.

749. γε μήν. *Certe vero*, quam significationem in omnibus locis ubi occurrit, habere dicit Herm. ad Vig. 641. In edit. Barnes. malè vertitur *præcipue*.

751. πᾶν μέλος βοῆς hic de omni genere clamoris intelligitur, quale ap. nostri Bacch. 1129. ἦν δὲ πᾶσ' ὁμοῦ βοή. Hæc unâ voce μιξόθροος expressit Æsch. Sept. Theb. 321.

759. θεοῖσιν. Dissyllabum, de quâ pronuntiatione vide supra ad v. 296.

761. οἶσθ'—εἰσορῶσα. Pro οἶσθ' εἰσορᾶν. Participium pro infinitivo, quod sæpe fit cum verbis aliquem animi sensum significantibus. Vide supra ad v. 53. Qui Hellenismus etiam apud sacros auctores sæpissimè occurrit. Matth. xi. 11. Luc. v. 4. Ephes. i. 16. Coloss. i. 9. Heb. x. 2. quorum indicium Cl. Egertono debeo, Hippolyti post Valcken. editori.

ΗΛ. ὦ φίλτατ', ἔκ τοι δείματος δυσγνωσίαν
εἶχον προσώπου· νῦν δὲ γιγνώσκω σὲ δή.
τί φής; τέθνηκε πατρὸς ἐμοῦ στυγνὸς φονεύς;
ΑΓ. τέθνηκε· δίς σοι ταὔθ', ἃ γοῦν βούλει, λέγω.
ΧΟ. ὦ θεοὶ, δίκη τε πάνθ' ὁρῶσ', ἦλθές ποτε.
ΗΛ. ποίῳ τρόπῳ δὲ, καὶ τίνι ῥυθμῷ φόνου
κτείνει Θυέστου παῖδα, βούλομαι μαθεῖν.
ΑΓ. ἐπεὶ μελάθρων τῶνδ' ἀπήραμεν πόδα,
εἰσβάντες ἦμεν δίκροτον εἰς ἀμάξιτὸν,
ἔνθ' ἦν ὁ κλεινὸς τῶν Μυκηναίων ἄναξ.
κυρεῖ δὲ κήποις ἐν καταῤῥύτοις βεβὼς,
δρέπων τερείνης μυρσίνης κάρᾳ πλόκους·
ἰδών τ' ἀΰτεῖ· χαίρετ', ὦ ξένοι· τίνες;
πόθεν πορεύεσθ', ἔστε τ' ἐκ ποίας χθονός;

767. τίνι ῥυθμῷ. De productione brevis vocalis in fine dictionis ante literam ῥ in initio sequentis, optimè post scriptorem in Censurâ Trimestri (Quarterly Review, Vol. V. p. 225.) disputavit Monkius. *Si, inquit, finalis syllaba naturâ brevis secunda pedis pars est, ut in eam ictus metricus cadat, tum ob consonantem ῥ in initio vocis sequentis producitur. Hæc autem vis ἐκτατικὴ non obstát, quo minus syllaba in priore pedis parte brevis maneat, ut in Prom. 738.* (Ed. Blomf.) τίνι ῥυθμῷ occurrit in Codicibus Cycl. 397.

773. μυρσίνης. Μυῤῥίνη, Ἀττικῶς, μυρσίνη, Ἑλληνικῶς; Mœris Att. Sed de recente Atticismo loquitur. Namque apud veteres Atticos Thucydidem, Sophoclem, Euripidem, altera scribendi ratio per ρσ sola obtinuit. Hæc post alios notavit Piers. ad Mœr. p. 189.

774. τίνες. Ita Hom. Od. A. 170. τίς; πόθεν εἷς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;

775. Locus certè corruptus, et cui nemo, quoad scio, hâctenus medelam adhibuit. Musgravii conjecturam in textum recepi, quamvis πόθεν πορεύεσθαι paulo durior videtur. Ed. Princ. habet πόθεν, πορευεσθέ τ' ἐκ ποίας χθονός; contra metrum. Vult Reiskius πόθεν πορεύεσθ' ἐς τὶ, κᾀς ποίας χθονάς; quæ mihi lectio magis arriserit, si interrogationis signum positum esset post πόθεν.

ὁ δ' εἶπ' Ὀρέστης, Θεσσαλοί· πρὸς δ' Ἀλφεὸν
θύσοντες ἐρχόμεσθ' Ὀλυμπίῳ Διΐ.
κλύων δὲ ταῦτ' Αἴγισθος, ἐννέπει τάδε·
νῦν μὲν παρ' ἡμῖν χρὴ ξυνεστίους ἐμοὶ
θοίνῃ γενέσθαι, τυγχάνω δὲ βουθυτῶν
νύμφαις· ἑῷοι δ' ἐξαναστάντες λέχους,
εἰς ταὐτὸν ἥξετ'· ἀλλ' ἴωμεν εἰς δόμους.
καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ χερὸς λαβὼν
παρῆγεν ἡμᾶς, "οὐδ' ἀπαρνεῖσθαι χρεών."
ἐπεὶ δ' ἐν οἴκοις ἦμεν, ἐννέπει τάδε·
λουτρ' ὡς τάχιστα τοῖς ξένοις τὶς αἱρέτω,
ὡς ἀμφὶ βωμὸν στῶσι χερνίβων πέλας.

776. *Θεσσαλοί.* Præclaram poetæ nostri hic videas œconomiam. Cum enim Orestes se Thessalum dixisset, Ægisthus illum ad artem eam, quâ gloriabantur Thessali, ostentandam provocat. Ejus quippe gentis peritia in iis quæ ad sacrificia pertinent, ita ex dissertatione Doricâ patet, a Musgravio citatâ. *Θεσσάλοισι δέ καλὸν τὼς ἵππως ἐκ τᾶς αγελᾶς λαβόντι αὔτως δαμᾶσαι, καὶ τὼς ὄρεας. βῶς τε λαβόντι αὔτως σφᾶξαι, καὶ ἐκδεῖραι, καὶ κατάκοψαι.*

780. *θοίνῃ.* Ita pro vulgato *θοίνην* restituit Seidlerus. Verte cum illo, *estote mihi* (ἐμοὶ) *convivæ in hâc meâ domo* (παρ' ἡμῖν).

Ibid. βουθυτῶν. Verbum *βουθυτέω* per se significat *boves immolo*, quod regum proprie erat. Aliquando generaliter sumitur pro *immolare*, ut Aristoph. Plut. 820. *ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ.* Æsch. contra Ctesiph. in Demosthenem invehitur quod is septimo die post filiæ mortem *πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος, καὶ λευκὴν ἐσθῆτα λαβών, ἐβουθύτει.* Eodem modo pastores *ovium* sæpe *βουκόλοι* dicuntur. Sic enim inquit Schol. ad Androm. 281. *βουκόλοι κοινῶς οἱ νομεῖς, ἀπὸ τοῦ ἐπιφανεστέρου ζώου.*

782. *εἰς ταὐτὸν ηξετ'.* *eodem pervenietis,* quo scilicet pervenissetis, si ad me non deflexissetis, ut rectè exponit Seidlerus.

787. *χερνίβων πέλας* i. e. prope aquam lustralem. Athen. X. 18. inquit, *χέρνιψ ἔστιν ὕδωρ εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ τούτῳ περιῤῥαίνοντες τοὺς πα-*

ἀλλ' εἶπ' Ὀρέστης, ἀρτίως ἡγνίσμεθα
λουτροῖσι καθαροῖς ποταμίων ῥείθρων ἄπο.
εἰ δὲ ξένους ἀστοῖσι συνθύειν χρεὼν,
Αἴγισθ', ἕτοιμοι, κοὐκ ἀπαρνούμεσθ', ἄναξ.
τοῦτον μὲν οὖν μεθεῖσαν ἐκ μέσου λόγον·
λόγχας δὲ θέντες, δεσπότου φρουρήματα,
δμῶες, πρὸς ἔργον πάντες ἵεσαν χέρας.
οἱ μὲν σφαγεῖον ἔφερον, οἱ δ' ᾖρον κανᾶ·
ἄλλοι δὲ πῦρ ἀνῆπτον, ἀμφί τ' ἐσχάρας
λέβητας ὤρθουν· πᾶσα δ' ἐκτύπει στέγη.
λαβὼν δὲ προχύτας μητρὸς εὐνέτης σέθεν

ῥόντας ἥγνιζον, unde apud Atticos qui scelere aliquo contaminati sunt χερνίβων etiam εἴργεσθαι dicuntur. Decantatum habes exemplum in Soph. Œd. R. 240.

791. ἕτοιμοι. Scil. ἐσμέν, ut supra ad v. 37.

795. σφαγεῖον. In Troad. 748. et Cycl. 395. exponitur *victima.* Hic verò rectius *vas libatorium,* atque ita interpretatur Schol. in Aristoph. Thesm. 761. Σφαγεῖον τὸ αἵματος δεικτικὸν ἀγγεῖον, ὅπερ ὁ ποιητὴς ἀμνεῖον εἶπε. Damm. de hoc verbo Coll. 1075. inquit, Atticè vocabatur hoc vas σφάγιον, εἰς ὃ πρῶτον αἷμα δεχόμενοι τῷ βωμῷ ἐπέχεον. Ex quibus apparet, σφαγεῖον alio nomine σφάγιον dici, sicut ἄμνειον, ἄμνιον.

Ibid. κανᾶ. *canistra.* In sacrificiis adhibebantur κάνεα, contractè κανᾶ, quæ in specie erant lances in quibus culter sacrificus, et οὐλοχύται, et στέμματα condebantur. Erant autem ex auro factæ, et a virginibus ingenuis in Panathenaicis, Dionysiis, aliisque pompis per urbem ferebantur, quæ virgines dehinc dictæ κανηφόροι.

797. ἐκτύπει. Conferendus est locus similis in Med. 1176. ἅπασα δὲ Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.

798. προχύτας. *molas salsas.* i. e. far, admixto sale, quo victimæ aspersæ sacrificabantur. Homerus eas vocat ουλοχύτας. Il. A. 449. et passim. Eundem morem Latinis esse usitatissimum colligi potest ab Hor. Od. III. 24. 20. Tibull. III. IV. 9. *At natum in curas hominum genus omina noctis farre pio placant et saliente sale.* Farre victimarum exta aspergi docet Val. Maximus.

ἔβαλλε βωμοὺς, τοιάδ᾽ ἐννέπων ἔπη·
νύμφαι πετραῖαι, πολλάκις με βουθυτεῖν,
καὶ τὴν κατ᾽ οἴκους Τυνδαρίδα δάμαρτ᾽ ἐμὴν,
πράσσοντας ὡς νῦν, τοὺς δ᾽ ἐμοὺς ἐχθροὺς κακῶς,
λέγων Ὀρέστην καὶ σέ· δεσπότης δ᾽ ἐμὸς
τἀναντί᾽ ηὔχετ᾽, οὐ γεγωνίσκων λόγους,
λαβεῖν πατρῷα δώματ᾽· ἐκ κανοῦ δ᾽ ἑλὼν
Αἴγισθος ὀρθὴν σφαγίδα, μοσχίαν τρίχα
τεμὼν, ἐφ᾽ ἁγνὸν πῦρ ἔθηκε δεξιᾷ.
κἄσφαξ᾽ ἐπ᾽ ὤμων μόσχον, ὡς ἦραν χεροῖν
δμῶες· λέγει δὲ σῷ κασιγνήτῳ τάδε·
ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς

800. *βουθυτεῖν.* Subaudi δὸς, vel ποίησον, quod sæpe intelligitur in precandi vel optandi formulis. Notat L. Bos locum similem in Aristoph. Thesm. 294. Δήμητερ φίλη καὶ Περσέφαττα, πολλὰ πολλάκις μέ σοι Θύειν ἔχουσαν. Adde nostri Supp. 3. Æsch. Theb. 259. Choeph. 304. monente Porsono.

804. ηὔχετ᾽. Ita dedi pro vulgari εὔχετ᾽, planè cum Porsono in Præf. ad Hec. persuasum habens *non licuisse in Attico sermone augmentum abjicere.*

Ibid. γεγωνίσκων. *apertè proferens,* ut in Prometh. 628. Γεγωνίσκειν, τὸ φθέγγεσθαι ἐξάκουστον. Eusth. in Hom. Il. M. 337. Γεγωνεῖν καὶ γεγωνίσκειν Ἀττικῶς, βοᾶν καὶ κράζειν, Ἑλληνικῶς. Mœr. Att. 114. At, quicquid ferè de his verbis dici poterat exantlaverunt VV. DD. Blomf. ad Prom. 201. Butler. ad Prom. 628.

806. τρίχα τεμών. De hoc more bene, ut solet, disputat Kusterus ad Aristoph. Aves. 960. cujus verba in lectoris gratiam exscribam. Veteres, inquit, sacrificaturi, victimis pilos e fronte evellere vel abscindere solebant, quos postea, tanquam prima libamina, igni in arâ accenso imponebant. Egregiè hoc expressit Virgilius Æn. VI. 243. ubi in describendo sacrificio Æneæ inter alia inquit: *Et summas carpens media inter cornua setas, Ignibus imponit sacris libamina prima.* Hoc proprie κατάρξασθαι τοῦ ἱερείου Græci dicebant.

810. Θεσσαλοῖς. Vide supra citata ad v. 776.

εἶναι τόδ', ὅστις ταῦρον ἀρταμεῖ καλῶς,
ἵππους τ' ὀχμάζει· λάβε σίδηρον, ὦ ξένε,
δεῖξόν τε φήμην ἔτυμον ἀμφὶ Θεσσαλῶν.
ὁ δ', εὐκρότητον Δωρίδ' ἁρπάσας χεροῖν,
ῥίψας ἀπ' ὤμων εὐπρεπῆ πορπάματα,
Πυλάδην μὲν εἵλετ' ἐν πόνοις ὑπηρέτην,
δμῶας δ' ἀπωθεῖ· καὶ λαβὼν μόσχου πόδα,
λευκὰς ἐγύμνου σάρκας, ἐκτείνων χέρα·
θᾶσσον δὲ βύρσαν ἐξέδειρεν, ἢ δρομεὺς
δισσοὺς διαύλους ἱππίους διήνυσε,
κἀνεῖτο λαγόνας· ἱερὰ δ' εἰς χεῖρας λαβὼν
Αἴγισθος, ἤθρει· καὶ λοβὸς μὲν οὐ προσῆν

811. ἀρταμεῖ. i. e. κατακόπτει. quâ significatione Noster usurpavit in Peliasin, teste Hesychio, quem citat Seidlerus. Plura de hoc verbo dixerunt Monk. ad Alcest. 510. et Blomf. ad Prom. 1059.

812. ὀχμάζει. *constringit.* Schol. in Apoll. Rhod. lib. I. 743. a Musgr. citatus, inquit, κυρίως δὲ ἐστὶν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. Plura de hâc voce dedit Blomf. ad Prom. 5. quem vide.

814. εὐκρότητον. *bene coactum, induratum malleo,* ut rectè Musgravius post D'Orvill. ad Charit. p. 86. Vox occurrit Soph. Antig. 430.

Ibid. Δωρίδ'. *A flaying knife.* "Δωρὶς substantivè dicitur etiam Doricus culter eviscerandis excoriandisque victimis accommodus." Steph. Thes. At vero, teste Seidlero, veteres Grammatici non nisi δορίδος mentionem faciunt, quod derivant a δέρειν. Hesych. et Etymol. Mag. δορίδες, μάχαιραι μαγειρικαὶ, εἰς τὸ ἐκδεῖραι τὰ θύματα ἐπιτήδειοι.

820. διαύλους. Δίαυλος est versura stadii, cursus reciprocus seu duplicatus, obeundi sc. stadium et mox redeundi, unde διαυλόδρομοι dicuntur qui cum ad metam pervenissent flectentes eo rursus recurrebant unde cursum inierant. Hæc Stanleio debentur ad Æsch. Agam. 352. Conferri potest Med. 1178. ubi spatium temporis a cursoribus in stadio emetiendo consumptum, pro mensurâ temporis adhibetur.

821. κἀνεῖτο. Hoc est καὶ ἀνεῖτο, plusq. perf. ab ἀνίεμαι. quod Hesych. exponit δέρω.

822. λοβός. *Jecoris caput.* Hoc ut ait Cic. de Div. II. 12. *Ex omni*

σπλάγχνοις· πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας
κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.
χὠ μὲν σκυθράζει· δεσπότης δ' ἀνιστορεῖ,
τί χρῆμ' ἀθυμεῖς; ὦ ξέν', ὀῤῥωδῶ τινὰ
δόλον θυραῖον· ἔστι δ' ἔχθιστος βροτῶν
'Αγαμέμνονος παῖς, πολέμιός τ' ἐμοῖς δόμοις.
ὁ δ' εἶπε, φυγάδος δῆτα δειμαίνεις δόλον,
πόλεως ἀνάσσων; οὐχ, ὅπως πευστηρίαν

parte diligentissimè considerant: si vero id non est inventum, nihil putant accidere potuisse tristius. Conjicit Grotius hoc divinationis genus a Chaldæis primum manavisse, qui id Lydiis, Lydii Tuscis, Tusci deinde cæteris Italiæ populis tradiderunt. Quod et Diodorus Siculus confirmat II. 29. ubi de Chaldæis agens, *οὐκ ἀσοφῶς δὲ*, inquit, *καὶ τὰ περὶ τὴν ἱεροσκοπίαν ἀκριβῶς επιτυγχάνειν νομίζονται.* In Ezek. xxi. 21. inter alia quæ ad divinationem spectant, Rex Babylonis *in jecore* etiam *respexisse* fertur.

823. *πύλαι. Vena porta.* Sic enim a medicis appellatur. De his ita Cic. de Nat. D. II. 55. *Succus is, quo alimur, permanat ad jecur per quasdam a medio intestino usque ad* portas jecoris (*sic etiam appellant*) *ductas et directas vias, quæ pertinent ad jecur, eique adhærent.* Nicandri Schol. *τράπεζα καὶ πύλη, μέρη τινά εἰσιν ἐξημμένα τοῦ ἥπατος.* Ruf. Ephes. *πύλη δὲ ἥπατος, ἡ φλὲψ δι' ἧς ἡ τροφὴ εἰσέρχεται.* Meminit et Pollux. II. §. 215. a Seidlero citatus. *Καλεῖται δὲ τοῦ ἥπατος, τὸ μὲν αὐτοῦ, πύλαι, καθ' ἃς ὑποδέχεται τὸ αἷμα, ὅπερ διὰ μιᾶς φλεβὸς εἰς πάσας τὰς φλέβας ἀπ' αὐτῶν ἀναπέμπεται· τὸ δὲ, λοβοὶ ἡπατίαι, καθάπερ οἱ τοῦ πνεύμονος λοβοὶ πνευμονίαι.*

824. *προσβολάς.* Vox e palæstrâ translata. Est enim athletarum junctura et cohæsio. Deinde de aliquo aggressu usurpari potest. A Schol. in Aristoph. Pac. 39. *χ' ᾧτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή;* exponitur *ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή.*

826. *τι χρημ'.* Subaudi *διὰ*, *quare?* ut sæpe apud Tragicos. Exempla adeas Hec. 971. Heracl. 633. 646. 709. Herc. F. 1179. quæ attulit Monk. ad Alc. 528. Eodem modo sæpe intelligitur *propter* apud Latinos, ut in Virg. Ecl. I. 37. *Mirabar, quid* (i. e. propter quid,) *mæsta Deos, Amarylli, vocares.*

Ibid. *ὀῤῥωδῶ.* Verbum pro *φοβοῦμαι* Atticis usitatum. *'Οῤῥωδεῖν, 'Αττικῶς. φοβεῖσθαι, 'Ελληνικῶς. 'Οῤῥωδῶν θανεῖν* occ. Hec. 756. *ὀῤῥωδῶν παθεῖν* Andr. fr. xxi. 2.

830. *πευστηρίαν.* Rectè Seidlerus

θοινασόμεσθα, Φθιάδ' ἀντὶ Δωρικῆς
οἴσει τὶς ἡμῖν κοπίδ'; ἀπορρήξω χέλυν.
λαβὼν δὲ κόπτει· σπλάγχνα δ' Αἴγισθος λαβὼν,
ἤθρει διαιρῶν· τοῦ δὲ νεύοντος κάτω,
ὄνυχας ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν,
εἰς σφονδύλους ἔπαισε· νωτιαῖα δὲ
ἔρρηξεν ἄρθρα· πᾶν δὲ σῶμ' ἄνω κάτω
ἤσπαιρεν, ἠλάλαζε δυσθνῆσκον φόνῳ.
δμῶες δ' ἰδόντες εὐθὺς ἦξαν εἰς δόρυ,
πολλοὶ μάχεσθαι πρὸς δύ'· ἀνδρίας δ' ὕπο
ἔστησαν, ἀντίπρωρα σείοντες βέλη,
Πυλάδης, Ὀρέστης τ'· εἶπε δ', οὐχὶ δυσμενὴς

intelligit θυσίαν, vertens *sacrificium exploratorium*, quemadmodum dicuntur sacrificia ἱλαστήρια, καθαρτήρια, σωτήρια. Sic apud Latinos quoque τὸ *sacra* vel *sacrificia* in *Bacchanalia*, *Terminalia*, *Suovetaurilia* aliisque subaudiri monet Cl. Bos de Ell. p. 120. voc. θῦμα.

832. κοπίδ'. Hoc, quod fuit, valdè est disputatum. Iis assentior, qui *gladium* interpretantur *curtum et latiorem et leviter falcatum, qualem Anglicè diceremus "A scymetar."* Frequenter apud Xenophontem Persis et barbaris tribuitur; σὺν ἀσπίσι ταῖς ποδήρεσι καὶ δόρασι μεγάλοις. καὶ κοπίσι. Cyrop. Lib. vi. Curtius etiam, de Thracibus loquens, *Copidas*, inquit, *vocant gladios leviter curvatos falcibus similes, quibus appetebant belluarum manus*. De reb. Alexand. VIII. 14. 29.

Ibid. χέλυν. *Pectus*. Ita enim interpretatur Schol. Nicand. Alexiph. 81. διὰ χέλυος, τουτέστι τοῦ στήθους. Cui assentitur Reiskius, qui totam, inquit, thoracis arcam χέλυν dici, a similitudine testudinis.

835. ὄνυχας ἐπ' ἄκρους. *On tiptoe*. Ita Virg. Æn. V. 426. Constitit in digitos extemplo arrectus uterque.

838. ἠλάλαζε. *Confusum magnum sonum edit*. Nam sic reddit Damm. Coll. 232. Quem sensum habet in Bacch. 1131. Αἱ δ' ἠλάλαζον. Seidleri sententiâ ἠλάλαζε videtur explicandum esse ἐθορυβεῖτο, scil. *manus pedesque jactans*. De vocis strepitu potius accipio, ut inf. 850. ubi de ovantium clamore dicitur. Vide loc.

ἥκω πόλει τῇδ', οὐδ' ἐμοῖς ὀπάοσιν·
φονέα δὲ πατρὸς ἀντετιμωρησάμην
τλήμων Ὀρέστης· ἀλλὰ μή με κτείνετε
πατρὸς παλαιοὶ δμῶες· οἱ δ', ἐπεὶ λόγων
ἤκουσαν, ἔσχον κάμακας· ἐγνώσθη δ' ὕπο
γέροντος ἐν δόμοισιν ἀρχαίου τινός.
στέφουσι δ' εὐθὺς σοῦ κασιγνήτου κάρα
χαίροντες, ἀλαλάζοντες· ἔρχεται δέ σοι
κάρα 'πιδείξων, οὐχὶ Γοργόνος φέρων,
ἀλλ' ὃν στυγεῖς Αἴγισθον· αἷμα δ' αἵματος
πικρὸς δανεισμὸς ἦλθε τῷ θανόντι νῦν.

844. *φονέα*. De quantitate hujus vocis vide supra ad v. 594.

847. *κάμακας*. *Hastas*. Hunc sensum habet in Hec. 1137. Phœn. 1418. Apud Hom. Il. Σ. 563. sumitur pro *vitis adminiculo*, atque eâdem significatione ap. Hes. *Σειόμενος φύλλοισι καὶ αργυρέῃσι κάμαξι.* Apud Xen. de Art. Equestr. *καμάκινον δόρυ* dicitur hasta, sive, ut explicat Hesych. *δοράτιον ιππικόν*.

850. *ἀλαλάζοντες*. *Jubilantes*. Quo sensu accipitur in nostri Phœn. 1410. Supp. 719. *εγω δ' ἀνηλάλαξα, κἀνωρχησάμην*, Κἄκρουσα *χεῖρας*, Ἀλαλὴ a Schol. ad Aristoph. Av. 954. explicatur *ὁ στρατιωτικὸς θόρυβος, καὶ ἀλαλαγμός*. Ἀλάλαξεν *ὑπερμάκει βοᾷ* de Minervâ dicitur ap. Pind. Ol. 7. 68.

851. Γοργόνος. Conferendus est locus in Phœn. 465. *Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα* Γόργους, *ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν*. Apud Aristoph. Thesm. 1109. Euripides, ut Perseus, in scenam introducitur, *τὸ* Γοργόνος Κάρα *κομίζων*. Pro re aliquâ terribili poni videtur *η* Γοργὼ ab Heliod. Æthiop. IV. 7. *ἡ δὲ, ὥσπερ τὴν* Γοργοῦς *θεασαμένη κεφαλὴν, ἀνέκραγεν*.

852. Αἴγισθον. i. e. pro Αἰγίσθου, constructione Atticis familiarissimâ, cujus exempla recensuit Kuster. ad Aristoph. Plut. 55. citans ejus comœdiæ v. 200. et Lysistr. 409. His addidit Pors. ad Orest. 1645. unum atque alterum exemplum, nempe Soph. Œd. Col. 1150. et Aristoph. Eccles. 836. Tertium est in Med. 935. si, quod suspicor, legere debemus *παῖδας* pro vulgari *παῖδες*. Eâdem quoque structurâ Latini uti solent. *Urbem quam statuo, vestra est*. Virg. *Novi hominem qui sit*. Ter.

ΧΟ. θὲς εἰς χορὸν, ὦ φίλα, ἴχνος· στροφή.
ὡς νεβρὸς οὐράνιον
πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ.
νικᾷ στεφανηφορίαν
κρείσσω παρ' Ἀλφειοῦ ῥεέθροις τελέσας
κασίγνητος σέθεν· ἀλλ' ἐπάειδε
καλλίνικον ᾠδὰν ἐμῷ χορῷ.

ΗΛ. ὦ φέγγος, ὦ τέθριππον ἡλίου σέλας,
ὦ γαῖα, καὶ νὺξ, ἣν ἐδερκόμην πάρος,
νῦν ὄμμα τοὐμὸν, ἀμπτυχαί τ' ἐλεύθεροι,
ἐπεὶ πατρὸς πέπτωκεν Αἴγισθος φονεύς.
φέρ', οἷα δὴ 'χω καὶ δόμοι κεύθουσί μου
κόμης ἀγάλματ' ἐξενέγκωμαι, φίλαι,

854. θὲς ἴχνος. *Pone pedem.* Namque ἴχνος sæpe hoc sensu accipitur. λεπτὸν ἴχνος ἀρβύλης τίθετε. Orest. 140. ubi Schol. ἴχνος δὲ λέγει τὸν πόδα. ἀνέφερε δ' ἴχνος αὐταῖς ἀρβύλαις. Bacch. 1132. Eodem modo *vestigium* apud Latinos *pedem* sæpe significat. *Vestigia pilo firmat.* Lucr. 4. 41. θὲς ἴχνος πέδῳ occurrit Orest. 1438. Porro πόδα τιθέναι apud Græcos *ire, ambulare,* significat, ut ἐν σκότῳ τιθεὶς πόδα Rhes. 571. ἁβρὸν πόδα τιθεῖσα. Hel. 1544. πόδα τίθημ' ὑπόπτερον. Aristoph. Thesm. 1111.

856. κουφίζουσα. i. e. κούφως κινοῦσα sive ποιοῦσα, ut rectè Seidlerus, conferens nostri Supp. 1057. Αἰώρημα κουφίζω. Cf. etiam ἅλμα κουφιεῖν, Soph. Aj. 1287.

858. κρείσσω παρ'. Editiones habent κρείσσω τᾶς παρ'. τᾶς vocem importunissimam rejecit Seidl. ne metrum rueret. Versus est Iambelegus, ut 856. 870. 872.

860. καλλίνικον. ᾠδὴ sæpe intelligitur, ut Med. 45. καλλίνικον ᾄσεται. Herc. F. 683. τὰν Ἡρακλέους καλλίνικον ἀείσω.

863. ἀμπτυχαί. Heathius interpretatur *oculorum explicationes vel reclusiones*, quasi dixisset Electra, nunc mihi liberum est, oculos attollere et aperire. Eleganter Reiskius conjicit ἀμπνοαί, quâ voce usus est Noster in Iph. T. 92. Ὄμμ' ἐλεύθερον occurrit in Iph. A. 994.

865. δὴ 'χω. Ita pro vulgato δὴ 'γω legendum censuit Canterus, in Soph. El. 450. innixus, σμικρὰ μὲν τάδ' ἀλλ' ὅμως Ἅχω.

στέψω τ' ἀδελφοῦ κρᾶτα τοῦ νικηφόρου.

ΧΟ. σὺ μὲν νῦν ἀγάλματ' ἄειρε ἀντιστρ.
κρατί· τὸ δ' ἁμέτερον
χορεύσεται Μούσαισι χόρευμα φίλον.
νῦν οἱ πάρος ἁμέτεροι
γαίας τυραννεύσουσι φίλοι βασιλῆς
δικαίως τούσδ' ἀδίκους καθελόντες.
ἀλλ' ἴτω ξύναυλος βοὰ χαρᾷ.

ΗΛ. ὦ καλλίνικε, πατρὸς ἐκ νικηφόρου
γεγὼς, Ὀρέστα, τῆς ὑπ' Ἰλίῳ μάχης,
δέξαι κόμης σῆς βοστρύχων ἀνδήματα.
ἥκεις γὰρ οὐκ ἀχρεῖον ἕκπλεθρον δραμὼν
ἀγῶν' ἐς οἴκους, ἀλλὰ πολέμιον κτανὼν
Αἴγισθον, ὃς σὸν πατέρα κἀμὸν ὤλεσε.
σύ τ', ὦ παρασπίστ', ἀνδρὸς εὐσεβεστάτου
παίδευμα, Πυλάδη, στέφανον ἐξ ἐμῆς χερὸς
δέχου· φέρει γὰρ καὶ σὺ τῷδ' ἴσον μέρος
ἀγῶνος· ἀεὶ δ' εὐτυχεῖς φαίνοισθέ μοι.

870. *χορεύσεται.* Ita pro vulgatâ lectione *χωρήσεται* ex Seidleri conjecturâ in textum recepi.

877. *ἀνδήματα.* Ita pro *ἀναδήματα* quod metrum corrumpit, restitui vult Blomfieldius ad Æsch. Sept. c. Theb. 740. *Κόμης ἀνάδημα δέξαι* legitur apud Nostri Hippol. 81.

878. *ἔκπλεθρον.* i. e. *σταδιαῖον.* *Πλέθρον* enim est *ἕκτον μέρος τοῦ σταδίου.* Legebatur olim *ἕκπλεθρον,* quod vitium Tyrwhittus sustulit.

882. *παίδευμα.* *Alumne.* Pro *πεπαιδευμένε.* "Pro alumno, inquit Monk. ad Hipp. 11. apud Tragicos occurrit, quemadmodum *λόχευμα* Phœn. 815. *κήδευμα* Soph. Œd. T. 85. *μίσημα,* Soph. El. 289. et alia ejus generis pro personis adhibentur." His adde *στύγημα* Orest. 474. *θρέμμα* supra 490. *ἐκπαίδευμ'.* Cycl. 597.

ΟΡ. θεοὺς μὲν ἡγοῦ πρῶτον, Ἠλέκτρα, τύχης
ἀρχηγέτας τῆσδ', εἶτα κἄμ' ἐπαίνεσον,
τὸν τῶν θεῶν τε, τῆς τύχης θ' ὑπηρέτην.
ἥκω γὰρ οὐ λόγοισιν, ἀλλ' ἔργοις κτανὼν
Αἴγισθον· ὡς δέ τῳ σάφ' εἰδέναι τάδε
προθῶμεν, αὐτὸν τὸν θανόντα σοι φέρω,
ὃν, εἴτε χρῄζεις, θηρσὶν ἁρπαγὴν πρόθες,
ἢ σκῦλον οἰωνοῖσιν, αἰθέρος τέκνοις,
πήξασ', ἔρεισον σκόλοπι· σὸς γὰρ ἐστι νῦν
δοῦλος, πάροιθε δεσπότης κεκλημένος.
ΗΛ. αἰσχύνομαι μὲν, βούλομαι δ' εἰπεῖν ὅμως.
ΟΡ. τί χρῆμα; λέξον, ὡς φόβου γ' ἔξωθεν εἶ.

885. θεούς. Hanc piam Orestis responsionem ita laudat Barnesius. "Præclarè dicitur, non esse humanis viribus tribuendum si quid fortiter aut feliciter gestum sit a nobis, sed Deo et illius Providentiæ, quam veteres *Fortunæ* titulo vocabant, quibus tantum nos ministros præbemus." Grotius ita locum vertit. *Felicitatis principem causam, Deos, Venerare* primum; *deinde me lauda, Soror, Si vis, ministrum quippe fortunæ et Deûm.* E scripturâ digna sunt quæ citavit Barnesius (1 Chron. xxix. 20.) Καὶ εἶπε Δαβὶδ πάσῃ τῇ ἐκκλησίᾳ, Εὐλογήσατε Κύριον, τὸν Θεὸν ἡμῶν· καὶ εὐλόγησε πᾶσα ἡ ἐκκλησία τὸν Θεὸν τῶν πατέρων αὐτῶν. Καὶ κάμψαντες τὰ γόνατα προσεκύνησαν Κυρίῳ, καὶ τῷ βασιλεῖ.

888. λόγοισιν, ἀλλ' ἔργοις. Pors. ad Phœn. 512. "λόγος et ἔργον quoties opponantur, præsertim a Tragicis, nemo ignorat." E nostro exempla sunt Phœn. 400. Alcest. 349. Orest. 281. Erecth. fr. 1. 13. Conferri potest Thucyd. Hist. II. 41. οὐ λόγων — κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια. Ita Ov. Am. I. 12. 27. *Ergo ego vos* rebus *duplices pro* nomine *sensi.*

892. αἰθέρος τέκνοις. Hanc loquendi rationem facetè ridet Arist. Vesp. 1511. pisces vocans τέκνα τοῦ θαλασσίου.

894. κεκλημένος. Vide supra ad v. 364. ibique annotata. Citatis adde Iph. Aul. 473. Hom. Hymn. in Apoll. 324. Quam loquendi rationem Virg. imitatus est Æn. II. 677. *cui parvus Julus Et pater et conjux quondam tua* dicta *relinquor.*

ΗΛ. νεκροὺς ὑβρίζειν, μή μέ τις φθόνῳ βάλῃ.
ΟΡ. οὐκ ἔστιν οὐδεὶς, ὅστις ἂν μέμψαιτό σοι.
ΗΛ. δυσάρεστος ἡμῶν καὶ φιλόψογος πόλις.
ΟΡ. λέγ', εἴ τι χρῄζεις, ξύγγον'· ἀσπόνδοισι γὰρ
νόμοισιν ἔχθραν τῷδε συμβεβλήκαμεν.
ΗΛ. εἶεν· τίν' ἀρχήν πρῶτά σ' ἐξείπω κακῶν;
ποίας τελευτάς; τίνα μέσον τάξω λόγον;
καὶ μὴν δι' ὄρθρων γ' οὔποτ' ἐξελίμπανον
θρυλλοῦσ', ἅ γ' εἰπεῖν ἤθελον κατ' ὄμμα σὸν,
εἰ δὴ γενοίμην δειμάτων ἐλευθέρα
τῶν πρόσθε· νῦν οὖν ἐσμέν· ἀποδώσω δέ σοι
ἐκεῖν', ἅ σε ζῶντ' ἤθελον λέξαι κακά.
ἀπώλεσάς με, κὠρφανὴν φίλου πατρὸς,
καὶ τόνδ' ἔθηκας, οὐδὲν ἠδικημένος.
κἄγημας αἰσχρῶς μητέρ', ἄνδρα τ' ἔκτανες

897. νεκροὺς ὑβρίζειν. Huc refert Barnesius nobile illud nostri in Philoctetis fr. Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ, Οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν Ἀθάνατον ὅστις σωφρονεῖν ἐπίσταται. Conferri etiam potest Phœn. 1677. κἀκεῖνο κέκριται, μὴ φὐβρίζεσθαι νεκρούς, ubi poeta præ oculis Homerum habuisse videtur in Od. χ. 412. dicentem Οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

902. Εἶεν. *Well!* Vide supra ad v. 591.

Ibid. τίν' ἀρχήν. Versus ab Homero adumbratus Od. I. 14. τί πρῶτον; τί δ' ἔπειτα; τι δ' ὑστάτιον καταλέξω; Confer etiam Nostri Iph. A. 1124. τιν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;

911. κἄγημας. *Etiam uxorem duxisti.* "Grammatici præcipiunt, ut γαμεῖν, de viro, γαμεῖσθαι de fœminâ dicatur, quæ regula certè plerumque observatur." Pors. ad Med. 264. q. v. Confer etiam Hom. Od. XI. 272. Γημαμένη ᾧ υἱεῖ, ὁ δ' ὃν πατέρ' εξεναρίξας Γῆμεν. ubi Eusth. τὸ "γημαμένη" καὶ τὸ "ἔγημε" φανερὰν διαφορὰν δηλοῖ τοῦ γῆμαι καὶ τοῦ γήμασθαι.

στρατηλατοῦνθ' Ἕλλησιν, οὐκ ἐλθὼν Φρύγας.
εἰς τοῦτο δ' ἦλθες ἀμαθίας, ὥστ' ἤλπισας,
ὡς εἰς σὲ μὲν δὴ μητέρ' οὐχ ἕξεις κακὴν
γήμας, ἐμοῦ δὲ πατρὸς ἠδίκεις λέχη.
ἴστω δ', ὅταν τις διολέσας δάμαρτά του
κρυπταῖσιν εὐναῖς, εἶτ' ἀναγκασθῇ λαβεῖν,
δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν
ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν.
ἄλγιστα δ' ᾤκεις, οὐ δοκῶν οἰκεῖν κακῶς·
ᾔδησθα γὰρ δῆτ' ἀνόσιον γήμας γάμον,
μήτηρ δέ σ' ἄνδρα δυσσεβῆ κεκτημένη.
ἄμφω πονηρὼ δ' ὄντ', ἀφαιρεῖσθον τύχην,
κείνη τε τὴν σὴν, καὶ σὺ τοὐκείνης κακόν.
πᾶσιν δ' ἐν Ἀργείοισιν ἤκουες τάδε,
ὁ τῆς γυναικὸς, οὐχὶ τἀνδρὸς ἡ γυνή.
καίτοι τόδ' αἰσχρὸν, προστατεῖν γε δωμάτων
γυναῖκα, μὴ τὸν ἄνδρα· κἀκείνους στυγῶ

914. εἰς σὲ μέν. Ingeniosè Reiskius εἰς σ' ἐμήν conjecit, particulam μὲν hoc loco importunam putans. Sed stare potest.

916. ἴστω δ'. i. e. ἴστω ἐκεῖνος, ὅστις ἂν κ. τ. λ.

919. ἐκεῖ. i. e. *apud priorem maritum.*

926. ὁ τῆς γυναικός. Aptè comparat Barnesius illud Martialis. *Uxori nubere nolo meæ.* Conferri etiam potest illud Anacreontis de effæminato quodam sugillantis οὐκ ἔγημεν ἀλλ' ἐγήματο. Fragm. 78.

928. κἀκείνους. ὅστις ad plurale nomen refertur ἐκείνους. Complura similis constructionis exempla indicavit Pors. in notâ MStâ a Monk. ad Hipp. 78. citatâ. Quæ loca V. D. sine scribendo tantummodo enumeravit, exscribam. Arist. Ran. 714. Κἀπιτίμους, καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ. Eur. Hec. 359. Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας Τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται. Soph. Aj. 759. Τὰ γὰρ

τοὺς παῖδας, ὅστις τοῦ μὲν ἄρσενος πατρὸς
οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει.
ἐπίσημα γὰρ γήμαντι καὶ μείζω λέχη,
τἀνδρὸς μὲν οὐδεὶς, τῶν δὲ θηλειῶν λόγος.
ὃ δ' ἠπάτα σε πλεῖστον οὐκ ἐγνωκότα,
ηὔχεις τις εἶναι, τοῖσι χρήμασι σθένων.
τὰ δ' οὐδὲν, εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.
ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα·
ἡ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κακά·
ὁ δ' ὄλβος ἄδικος, καὶ μετὰ σκαιῶν ξυνὼν,
ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον.
ἃ δ' εἰς γυναῖκας, παρθένῳ γὰρ οὐ καλὸν

περισσὰ κἀνόνητα σώματα Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις Ἔφασκ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν Βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ. ubi ὅστις ad σώματα refertur. Aristoph. Eccl. 683. ὅτῳ δε τὸ γράμμα Μὴ 'ξελκυσθῇ καθὸ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντας. Eustath. p. 415. Σύνηθες inquit, Ὁμήρῳ σχῆμα, τὸ ἐκ πληθυντικῆς καταβαίνειν εἰς ἑνικόν. Quem Græcismum a Tibullo imitatum vidit Porsonus. *Tunc procul* absitis, quisquis *colit arte capillos, Effluit effusâ cui togâ laxa sinu.* I. 6. 39.

933. ὃ δ' ἠπάτα. Hunc locum ita vertit Grotius in Excerptt. p. 363. *Sed te fefellit ista res vel maxime Quod tibi placebas propter auri copiam.*

934. τις. Anglicè diceremus "*You boasted you were* somebody." Confer Act. Apost. v. 36. Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν. Et Demosth. Μεσσήνιοι σε τινας εἶναι φασκόντες. Eodem modo *aliquis* apud Latinos usurpatur. Exempla sunt Juv. I. 74. *Si vis esse aliquis.* Pers. I. 129. *Sese aliquem credens.*

936. φύσις. *Innata ingenii vis.* Ita rectè explicat Stiblinus.

939. ἐξέπτατ'. Sextus Empiricus adv. Mathem. XI. 54. habet ἐξίπτατ'. Audi vero Porsonum ad Med. I. sic disputantem. "Attici in præsenti adhibent πέτομαι, πέταμαι, in aoristo ἐπτόμην, ἐπτάμην. Ἵπταμαι vero Atticis opinor prorsus fuisse incognitum."

Ibid. ἀνθήσας. Hæc vox, sicut substantivum ἄνθος de re quâlibet ridente usurpatur. Exempla cuique inter legendum obvia. ἄνθος ἥβης. Hom. Il. N. 484. τὸ σὸν γὰρ ἄνθος

λέγειν, σιωπῶ, γνωρίμως δ' αἰνίξομαι.
ὕβριζες ὡς δὴ βασιλικοὺς ἔχων δόμους,
κάλλει τ' ἀραρώς· ἀλλ' ἐμοί γ' εἴη πόσις
μὴ παρθενωπὸς, ἀλλὰ τἀνδρείου τρόπου.
τὰ γὰρ τέκν' αὐτῶν Ἄρεος ἐκκρεμάννυται·
τὰ δ' εὐπρεπῆ δὴ, κόσμος ἐν χοροῖς μόνον.
ἔῤῥ', οὐδὲν εἰδώς· ὧν ἐφευρεθεὶς χρόνῳ
δίκην δέδωκας· ὧδέ τις κακοῦργος ὢν
μή μοι, τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
νικᾶν δοκείτω τὴν δίκην, πρὶν ἂν πέλας
γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.

Æsch. Prom. 7. Ἕκτορός τ' ἤνθει δόρυ. nostri Hec. 1200.

940. εἰς γυναῖκας. Subaudi ἐποίεις, cujus ellipseos complura exempla suppeditavit Lamb. Bos. in voce ποιεῖν. Pari modo, inquit, Latini *facere* omittunt. Quintil. *Nihil aliud quam renuet.* Livius. *Et illâ nocte nihil præterquam vigilatum est.*

Ibid. παρθένῳ. Similem huic locum affert Brunck. ex Orest. 26. ὧν δ' ἕκατι, παρθένῳ λέγειν Οὐ καλόν. Παρθένοισιν οὐ καλὸν legitur ejusd. fab. 108.

943. ἀραρώς. Ita pro ἀραρὼν emendavit Scaliger. Forma est Atticis cum Doriensibus communis, atque inter Dorismos supra notatos ad v. 340. referenda. Ingeniosè Valck. ad Hipp. 1090. pro κάλλει τ' ἀραρὼς vult legi κάλλει τε χαίρων.

945. ἐκκρεμάννυται. i. e. *Marti se totos committunt*, sive *arctissime se ad Martem applicant.* Appositè ad nostrum locum confert Seidl. illud Platonis de legg. V. p. 732. ἔστι δὴ φύσει ἀνθρώπειον μάλιστα, ἡδοναὶ καὶ λῦπαι καὶ ἐπιθυμίαι, ἐξ ὧν ἀνάγκη τὸ θνητὸν πᾶν ζῶον ἀτεχνῶς οἷον ἐξηρτῆσθαί τε καὶ ἐκκρεμάμενον εἶναι σπουδαῖς ταῖς μεγίσταις. — Hugo Grotius vertit; *Maritus sit mihi Non virginali fronte, sed vi masculâ. Namque apta Marti talium proles patrum; Pulchros at illos non nisi choreæ decent.*

947. ὧν. Subaudi ἀριθμοῦ, cum Marklandio vertens *Ex quorum numero tu inventus.* Nisi legendum forte εἰδὼς ὤν, pari ratione ac ἱστάμενον περ ἐόντα Hom.

951. γραμμῆς. Primâ significatione *linea* significat, deinde, quia carcerum extrema spatia ductis lineis notabantur, pro ipsâ *metâ* sæpe ponitur. Eodem sensu vox *linea* ac-

ΧΟ. ἔπραξε δεινά· δεινὰ δ' ἀντέδωκέ σοι,
καὶ τῷδ'· ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.
ΟΡ. εἶεν· κομίζειν τοῦδε σῶμ' εἴσω χρεὼν,
σκότῳ τε δοῦναι, δμῶες, ὡς ὅταν μόλῃ
μήτηρ, σφαγῆς πάροιθε, μὴ σφ' ἴδῃ νεκρόν.
ΗΛ. ἐπίσχες· ἐμβάλωμεν εἰς ἄλλον λόγον.
ΟΡ. τί δ'; ἐκ Μυκηνῶν μῶν βοηδρόμους ὁρᾷς;
ΗΛ. οὐκ, ἀλλὰ τὴν τεκοῦσαν, ἥ μ' ἐγείνατο.
ΟΡ. καλῶς ἄρ' ἄρκυν εἰς μέσην πορεύεται.
ΗΛ. καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.
ΟΡ. τί δῆτα δρῶμεν; μητέρ' ἦ φονεύσομεν;

cipitur apud Horat. Epist. I. 16. 79. *Mors ultima linea rerum est.* Noster in Antig. fr. XIII. ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν. cum quo comparari potest Ion. 1514. παρ' οἵαν ἤλθομεν στάθμην βίου.

Ibid. τέλος κάμψῃ. *finem circumiverit*, metaphorâ, ut benè Monk. ad Hipp. 86. sumptâ ab agitatione curruum circa metam. Phrasis occurrit Soph. Œd. Col. 91. Ενταῦθα κάμψειν τὸν ταλαίπωρον βίον. Eur. Hel. 1686. ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον. Hipp. 86. τέλος δὲ κάμψαιμ', ὥσπερ ἠρξάμην, βίου, quæ indicavit Monkius. Cicero pro Cælio 59. simili usus metaphorâ, *In hoc*, inquit, *flexu quasi ætatis fama adolescentis paulum hæsit ad metas.*

957. ἐμβάλωμεν. *Ingrediamur.* Ap. Plat. in Phæd. c. 60. flumina dicuntur ἐμβάλλειν εἰς τὴν θάλασσαν, h. e. εἰσρεῖν, ἐμπίπτειν, ἀφικνεῖσθαι, quibus verbis in eodem loco de eâdem re utitur Plato.

958. βοηδρόμους. *Auxiliatores.* Vox imprimis tragica, apud prosæ orationis scriptores vix reperta, qui pro voce βοηδρομεῖν verbum βοηθεῖν usurpant. Olim tamen a Græcis frequentatam esse monstrant Apollo βοηδρόμιος Call. H. Apoll. 68. mensis βοηδρομιὼν, et βοηδρόμια, festum ob Thesei victoriam in isto mense reportatam. A Schol. ad Eur. Hipp. 786. βοηδρομεῖν exponitur τὸ μετὰ βοῆς τρέχειν, ἵνα διὰ τῆς βοῆς, καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσι. Vox apud nostrum occurrit Heracl. 340. Phœn. 1446. Orest. 1282. 1587.

960. ἄρκυν. κ. λ. Proverbium non infrequens, ubi quis in malum inopinatum cadit. ὥσπερ εἰς ἄρκυς ἐμβεβλημένος occurrit Heliod. lib. viii.

ΗΛ. μῶν σ' οἶκτος εἷλε, μητρὸς ὡς εἶδες δέμας;
ΟΡ. φεῦ. πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτεκεν;
ΗΛ. ὥσπερ πατέρα σὸν ἥδε, κἀμὸν, ὤλεσεν.
ΟΡ. ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας.
ΗΛ. ὅπου δ' Ἀπόλλων σκαιὸς ᾖ, τίνες σοφοί;
ΟΡ. ὅστις μ' ἔχρησας μητέρ', ἣν οὐ χρῆν, κτανεῖν.
ΗΛ. βλάπτει δὲ δὴ τί πατρὶ τιμωρῶν σέθεν;
ΟΡ. μητροκτόνος νῦν φεύξομαι, τόθ' ἁγνὸς ὤν.
ΗΛ. καὶ μή γ' ἀμύνων πατρὶ, δυσσεβὴς ἔσει·
ΟΡ. ἐγὼ δὲ μητρὶ τοῦ φόνου δώσω δίκας.
ΗΛ. τῷ δ' αὖ πατρῴαν διαμεθεὶς τιμωρίαν;
ΟΡ. ἆρ' αὔτ' ἀλάστωρ εἶπ', ἀπεικασθεὶς θεῷ;

967. ᾖ. Suppresso ἂν, quam constructionem, inquit Pors. ad Or. 141. amant Tragici. Exempla dat Ion. 1047. ὅπου δὲ πολεμίους δρᾶσαι κακῶς θέλῃ τις. Soph. ap. Plutarch. T. II. p. 34. A. 767. A. Ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος. Quibus adde quæ Monkius indicavit ad Alcest. 865. quæque Blomfieldius ad Æsch. Sept. c. Theb. 243.

971. μή. Ita pro μὴν, suadente Reiskio, quem Porsonus laudat ad Phœn. 1638. ubi *sæpe*, inquit, *additur* γε *in eâdem sententiâ cum* ἀλλὰ μὴν, καὶ μὴν, οὐδὲ μὴν, οὐ μὴν, *sed nunquam nisi alio verbo interposito.* In sequentibus Viri Doctissimi correctiones secutus sum, μητρὶ pro μητρὸς, δ' αὖ pro δαὶ, διαμεθεὶς pro διαμεθίης pro solito suo ingenio reponentis.

974. ἀλάστωρ. *Vindex genius.* Suidas. Ἀλάστωρ· πικρὸς καὶ φονικὸς δαιμὼν, τιμωρῶν καὶ ἀνεπίληστα ἔργα ποιῶν. Ad Minois tribunal astare dicuntur a Lucian. Necy. 11. Ποιναὶ, καὶ ἀλάστορες, καὶ Ἐριννύες. Horum meminit Æsch. Pers. 359. ubi doctissimam adeas Blomfieldii notam. Quod autem ἀλάστορες vel hominum, vel Deorum speciem præ se ferre putabantur, vel ex Æschyl. Agam. 1510. patet, ubi mirè se excusat Clytemnestra, asserens quod ipsa non occiderat maritum, φανταζόμενος δὲ γυναικὶ νεκροῦ τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ. Orestes etiam in cognomine fabula v. 1684. Apollini fatetur καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων Ἀλαστόρων, δόξαιμι σὴν κλύειν ὄπα.

ΗΛ. ἱερὸν καθίζων τρίποδ'; ἐγὼ μὲν οὐ δοκῶ.
ΟΡ. οὐδ' ἂν πιθοίμην εὖ μεμαντεῦσθαι τόδε.
ΗΛ. οὐ μὴ κακισθεὶς εἰς ἀνανδρίαν πέσῃς.
ΟΡ. ἀλλ' ἦ τὸν αὐτὸν τῇδ' ὑποστήσω δόλον;
ΗΛ. ᾧ καὶ πόσιν καθεῖλες, Αἴγισθον κτανών.
ΟΡ. εἴσειμι· δεινοῦ δ' ἄρχομαι προβλήματος.
καὶ δεινὰ δράσω γ', εἰ θεοῖς δοκεῖ τάδε.
ἔστω· πικρὸν δὲ, χἡδὺ τἀγώνισμά μοι.
ΧΟ. βασίλεια γύναι χθονὸς Ἀργείας,
παῖ Τυνδαρέου,
καὶ τοῖν ἀγαθοῖν ξύγγονε κούροιν
Διός· οἳ φλογερὰν αἰθέρ' ἐν ἄστροις
ναίουσι, βροτῶν ἐν ἁλὸς ῥοθίοις

980. προβλήματος. *Propositi.* " Illud meum proprium πρόβλημα, quæso, suscipe." Cic. ad Att. VII. 1.

981. τάδε. Plenam distinctionem post τάδε posui, suadente Seidlero. Sensit etiam Reiskius sententiam εἰ θεοῖς δοκεῖ τάδε rectius ad antecedentia referri.

982. πικρόν. Confer illud Plautianum in Pseud. *Dulce et amarum unà misces mihi.* Neque multum abludit Noster in Hipp. 348. ubi de Amore dicit ἥδιστον, ω παῖ, ταὐτὸν, ἀλγεινόν θ' ἅμα.

986. αἰθέρ'. Fœmininè nonnunquam usurpatur, ut αἰθέρος ἱερᾶς. Aristoph. Thesm. 1077. λευκὴν αἰθέρα. Nostri Androm. 1229. ubi epitheton masculinum a metro abhorreret.

987. ναίουσι. Eodem modo αἰθέρα ναίοντες Οὐρανίδαι audiuntur ap. Bacch. 391. Hunc, et similes loquendi modos mihi perstringere videtur Aristophanes, αἰθέρα vocans οἴκησιν Διός. Thesm. 279. Διός δωμάτιον Ranæ 313. Peculiariter verò τῶν ἐν αἰθέρι δισσῶν Διοσκούρων occurrit Iph. A. 768, Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς ξύνθακος ἔσται, ναυτίλοις σωτήριος. Orest. 1652. De iis vide infra ad v. 1235.

Ibid. ἁλὸς ῥοθίοις. Ῥόθι' ἁλὸς legitur Iph. T. 1387. ex emendatione Porsoni. ἐπ' Ἀμφιτρίτας ῥοθίῳ occurrit ejusdem dramatis v. 426.

988. τιμάς. *Attributes*, ut optimè Monk. ad Alc. 30. de partibus intelligens, quas administrandas sin-

τιμὰς σωτῆρας ἔχοντες·
χαῖρε, σεβίζω σ' ἴσα καὶ μάκαρας,
πλούτου, μεγάλης τ' εὐδαιμονίας.
τὰς σὰς δὲ τύχας θεραπεύεσθαι
καιρὸς νῦν, ὦ βασίλεια.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔκβητ' ἀπήνης, Τρῳάδες, χειρὸς δ' ἐμῆς
λάβεσθ', ἵν' ἔξω τοῦδ' ὄχου στήσω πόδα.
σκύλοισι μὲν γὰρ θεῶν κεκόσμηνται δόμοι
Φρυγίοις· ἐγὼ δὲ τάσδε, Τρῳάδος χθονὸς
ἐξαίρετ', ἀντὶ παιδὸς, ἣν ἀπώλεσα,

guli Dii sortiti erant. Quæ interpretatio etiam arrisit Valck. ad Hippol. 107. qui hunc usum vocis τιμὴ solitâ eruditione defendit. Confer Æsch. Eum. 422. Τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσει τάχα. Porro, de generis enallage in τιμὰς σωτῆρας complura exempla dat Eustathius a Barnesio citatus, qualia sunt Πύλου ἠμαθόεντος, ὑλήεντι Ζακύνθῳ, Φωκάων ὀλοώτατος ὀδμὴ, quæ omnia ex Homero sumuntur. Vide tamen citata a Blomfieldio ad Æsch. Sept. c. Theb. 210.

989. ἴσα καί. *Perinde ac.* Ἴσος sæpe adverbialiter dicitur cum dandi casu ut Hom. Il. 5. 70. Ἶσα φίλοισι τέκεσσι, et 440. μηδὲ θεοῖσιν Ἶσ' ἔθελε φρονέειν. et supra v. 67. Cum vero legitur ἴσα καὶ, accusandi casus qui sequitur pendet ab intellectâ præpositione κατά. Ita Soph. Œd. Tyr. 1186. Ἰὼ γενεαὶ βροτῶν, ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν, ζώσας ἐναριθμῶ. Hanc loquendi rationem, Latinos imitari dicit Herm. ad Vig. p. 76. Hor. II. Od. 8. 31. *Æqua tellus pauperi recluditur regumque pueris.* Pro *æque ac.* Confer I. Od. 4. 13. et III. Od. 1. 13.

990. πλούτου. Subaudi ἕνεκα.

997. ἐξαίρετ'. *excerpta.* Subaudi δῶρα. Famulas intelligit, quas a Trojâ obtinuisse Agamemnonem testis est Thersites in Il. 2. 225. Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες Εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ Πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν. Notum est, pulcherrima spoliorum ducibus cessisse, atque inde ἐξαίρετα vocabantur, seu *excerpta*, ut Vir-

σμικρὸν γέρας, καλὸν δὲ, κέκτημαι δόμοις.
ΗΛ. οὔκουν ἐγὼ, δούλη γὰρ ἐκβεβλημένη
δόμων πατρῴων, δυστυχεῖς οἰκῶ δόμους,
μῆτερ, λάβωμαι μακαρίας τῆς σῆς χερός;
ΚΛ. δοῦλαι πάρεισιν αἵδε, μὴ σύ μοι πόνει.
ΗΛ. τί δ'; αἰχμάλωτόν τοι μ' ἀπῴκισας δόμων.
ᾑρημένων δὲ δωμάτων ᾑρήμεθα,
ὡς αἵδε, πατρὸς ὀρφαναὶ λελειμμέναι.
ΚΛ. τοιαῦτα μέντοι σὸς πατὴρ βουλεύματα,
εἰς οὓς ἐχρῆν ἥκιστ', ἐβούλευσεν φίλων.
λέξω δὲ, καίτοι, δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις,

gilius dixit Æn. IX. 270. *ipsum illum clypeum, cristasque rubentes* Excipiam *sorti*.

1003. τι δ'; Interrogationis signum, quod vulgo ad finem versus locatur h. l. cum Heathio inserui, qui vertit. *Quidni vero? captivam certè me a domo patriâ abstraxisti.*

1005. λελειμμέναι. Hæc vox, ut rectè Seidlerus, non ad ᾑρήμεθα sed ad αἵδε pertinet. Alias scripsisset λελειμμένοι ex regulâ Dawesianâ, quam in tironum gratiam exscribam. "*Si mulier de se loquens, pluralem adhibet numerum, genus etiam adhibet masculinum; si masculinum adhibet genus, numerum etiam adhibet pluralem.*"

1008. λέξω δέ. Hic locus miserè editores exercuit. Seidleri satior mihi visa est sententia, qui ita vertit. *Rem dicam, quamquam, ubi malam famam mulier nacta est, orationi ejus invisi quid inest* (i. e. ejus orationem inviti audiunt, neque æquâ lance pendunt), *injuriâ, ut mihi quidem videtur, sed rem ipsam nullâ* personæ ratione habitâ, *decet cognoscere, et, si hâc cognitâ, aliquis odio dignus videatur, tum demum æquum est, eum odisse, sin minus, odio abstinere.* Vulgo μαθόντα σ'—ἔχεις.

1009. γλώσσῃ. Hunc versum corruptum esse suspicatur Porson. ad Hec. 302. canonis hujus Dawesiani memor, quo statuit, "nullam syllabam a poetâ scenico corripi posse, in quâ concurrunt consonantes βλ, γλ, γμ, γν, δμ, δν." Cui si quis assentiet cum Elmsleio legat γλώσσῃ γυναικὸς (vel γυναικῶν)

ὡς μὲν παρ' ἡμῖν οὐ καλῶς· τὸ πρᾶγμα δὲ
μαθόντας, ἢν μὲν ἀξίως μισεῖν ἔχῃ,
στυγεῖν δίκαιον· εἰ δὲ μή, τί δεῖ στυγεῖν;
ἡμᾶς δ' ἔδωκε Τυνδάρεως τῷ σῷ πατρὶ,
οὐχ ὥστε θνήσκειν, οὐδ' ἃ γειναίμην ἐγώ.
κεῖνος δὲ παῖδα τὴν ἐμὴν, Ἀχιλλέως
λέκτροισι πείσας, ᾤχετ' ἐκ δόμων ἄγων
πρυμνοῦχον Αὖλιν· ἔνθ' ὑπερτείνας πυρᾶς,
λευκὴν διήμησ' Ἰφιγόνης παρηΐδα.
κεἰ μὲν πόλεως ἅλωσιν ἐξιώμενος,
ἢ δῶμ' ὀνήσων, τἄλλα τ' ἐκσώζων τέκνα,
ἔκτεινε πολλῶν μίαν ὕπερ, σύγγνωστ' ἂν ἦν·
νῦν δ' οὕνεχ' Ἑλένης μάργος ἦν, ὅ, τ' αὖ λαβὼν

puncto in finem prioris versus retracto. Cum Porsonus hanc regulam, plerumque veram, nonnunquam tamen ab Æschylo, Sophocle, Aristophane violari fatetur, non est cur illi objiciat Seidlerus Trachin. 615. σφραγῖδι θέμενος τῇδ' ἔπ' ὄμμα, γνώσεται.

1017. πυρᾶς. Ita Tyrwhittus pro vulgato πύλας, comparans Iph. Taur. 26. ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν' ὑπὲρ πυρᾶς Μεταρσία ληφθεῖσ' ἐκαινόμην ξίφει. De Iphigeniâ audi Lucretium I. 85. ita disputantem. "*Aulide quo pacto Triviai virginis aram Iphianassai turparunt sanguine fœde Ductores Danaum, delecti, prima virorum. Cui simul infula virgineos circumdata comptus Ex utrâque pari malarum parte profusa 'st, Et mæstum simul ante aras astare parentem Sensit, et hunc propter ferrum celare ministros, Aspectuque suo lacrymas effundere cives, Muta metu terram genibus summissa petebat.* Veniam mihi dabit lector, qui carmina, affectus varietate et veritate præstantissima, non fastidit.

1018. διήμησ'. De hoc sacrificio ita Cic. de Off. III. 25. "*Agamemnon, cum devovisset Dianæ, quod in suo regno pulcherrimum natum esset illo anno, immolavit Iphigeniam, qua nihil quidem erat eo anno natum pulcherius.*"

1021. συγγνωστ'. Pro συγγνωστόν. Pluralis pro singulari ponitur, constructione Atticis usitatissimâ, reliquis etiam Græciæ scriptoribus

ἄλοχον κολάζειν προδότιν οὐκ ἠπίστατο,
τούτων ἕκατι παῖδ' ἐμὴν διώλεσεν.
ἐπὶ τοῖσδε τοίνυν, καίπερ ἠδικημένη,
οὐκ ἠγριούμην, οὐδ' ἂν ἔκτανον πόσιν·
ἀλλ' ἦλθ' ἔχων μοι Μαινάδ' ἔνθεον κόρην,
λέκτροις τ' ἐπεισέφρησε, καὶ νύμφα δύο
ἐν τοῖσιν αὐτοῖς δώμασιν κατεῖχ' ὁμοῦ.
μῶρον μὲν οὖν γυναῖκες, οὐκ ἄλλως λέγω.
ὅταν δ' ὑπόντος τοῦδ', ἁμαρτάνῃ πόσις,

haud ignotâ. Confer Eur. Med. 491. 701. Hec. 1097. Phœn. 1008. Hipp. 269. 373. Thucyd. I. 125. εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν. In Virg. Æn. I. 667. *Frater ut Æneas pelago tuus omnia circum Littora jactetur, odiis Junonis iniquis Nota tibi*, nota ponitur pro notum.

1027. Μαίναδ'. Cassandram intelligit, cujus amore captum esse Agamemnonem dicit noster in Troad. 413. Ὁ γὰρ μέγιστος τῶν Πανελλήνων ἄναξ Ἀτρέως φίλος παῖς, τῆσδ' ἔρωτ' ἐξαίρετον Μαινάδος ὑπέστη. Vide et ejusdem Dramatis v. 307. Μαινὰς θοάζει δεῦρο Κασσάνδρα δρόμῳ.

Ibid. ἔνθεον κόρην. Eandem appellationem habet Cassandra in Troad. 255. Ἔρως ἐτόξευσ' αὐτὸν ἐνθέου κόρης.

1028. ἐπεισέφρησε. Idem est ac ἐπεισένεγκε. Ἐπεισφρέω secundum Suidam, factum est per syncopen ex ἐπεισφορέω. Vox occurrit Alcest. 1075. Herc. F. 1267. Troad. 647. Arist. Vesp. 887.

1030. μῶρον. Subaudi χρῆμα, quæ Ellipsis apud Tragicos, et præsertim nostrum usitatissima. Exemplis a Monkio citatis ad Hipp. 445. adde Med. 885. Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν, Γυναῖκες. et 924. γυνὴ δὲ θῆλυ. Ita Aristoph. Eccl. 208. τὸ κοινὸν i. e. respublica. Quam structuram apud Latinos passim reperies. *Triste lupus stabulis.—Dulce satis humor.—Privatus illis census erat brevis, Commune magnum.*

1031. ἁμαρτάνῃ. Hoc verbum sæpe de illicitis amoribus usurpatur, cujus exempla sunt nostri Orest. 569. ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ'. (ubi Schol. ἐπεὶ δὲ ᾔσθετο μοιχευθεῖσα). Hipp. 466. Troad. 1028. Eodem sensu vox occurrit Div. Joh. cap. viii. v. 11. Πορεύου, καὶ μηκέτι ἁμάρτανε. Sunt etiam qui certant eandem esse primam notionem vocis *peccare* apud Latinos. Exempla

τἄνδον παρώσας λέκτρα, μιμεῖσθαι θέλει
γυνὴ τὸν ἄνδρα, χἄτερον κτᾶσθαι φίλον·
κἄπειτ' ἐν ἡμῖν ὁ ψόγος λαμπρύνεται,
οἱ δ' αἴτιοι τῶνδ', οὐ κλύουσ' ἄνδρες κακῶς.
εἰ δ' ἐκ δόμων ἥρπαστο Μενέλεως λάθρα,
κτανεῖν μ' Ὀρέστην χρῆν, κασιγνήτης πόσιν
Μενέλαον ὡς σώσαιμι; σὸς δὲ πῶς πατὴρ
ἠνέσχετ' ἂν ταῦτ'; εἶτα τὸν μὲν οὐ θανεῖν
κτείνοντα χρῆν τἀμ', ἐμὲ δὲ πρὸς κείνου παθεῖν;
ἔκτειν', ἐθρέφθην, ἥνπερ ἦν πορεύσιμον,
πρὸς τοὺς ἐκείνῳ πολεμίους· φίλων γὰρ ἂν
τίς ἂν πατρός σου φόνον ἐκοινώνησέ μοι;
λέγ' εἴ τι χρῄζεις, κἀντίθες παῤῥησίᾳ,
ὅπως τέθνηκε σὸς πατὴρ οὐκ ἐνδίκως.

ΗΛ. δίκαι' ἔλεξας· ἡ δίκη δ' αἰσχρῶς ἔχει.
γυναῖκα γὰρ χρὴ πάντα συγχωρεῖν πόσει,
ἥτις φρενήρης· εἰ δὲ μὴ δοκεῖ τάδε,

hujus significationis passim occurrunt, quorum unum exscribam ex Horatio. "Estne marito Matronæ *peccantis* in ambo justa potestas." Confer etiam Ter. Phorm. V. 8. 33. "ætate porro minus *peccaturum* putem?" et Tibull. IV. 14. 1. "Rumor ait nostram crebro *peccare* puellam."

1035. κλύουσ'-κακῶς. *Malè audiunt.* i. e. malam æstimationem habent. Sic enim *audio* accipitur apud Latinos. *Non rectè facere, et tamen bene audire vult.* Cic. Tu *rectè vivis, si curas esse quod audis.* Hor. Ep. I. 16. 17. Conf. Alc. 982. Suppl. 436. 880. Herc. F. 173.

1041. ἐθρέφθην. Vulgo ἐτρέφθην. Porsoni sententiam sequor, qui ad Phœn. 986. *Asperas*, inquit, *et antiquas formas adamarunt Tragici.* Vide locum.

Ibid. ἥνπερ. Subaudi ὁδόν. Sententiam verte, Converti me *ad illam viam per* quam licebat ire ad ipsius hostes.

οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκεις λόγων,
μέμνησο, μῆτερ, οὓς ἔλεξας ὑστάτους
λόγους, διδοῦσα πρὸς σέ μοι παῤῥησίαν.
ΚΛ. καὶ νῦν γε φημὶ, κοὐκ ἀπαρνοῦμαι, τέκνον.
ΗΛ. ἆρ' εὐ λέγουσα, μῆτερ, εἶτ' ἔρξεις κακῶς;
ΚΛ. οὐκ ἔστι· τῇ σῇ δ' ἡδὺ προσθήσω φρενί.
ΗΛ. λέγοιμ' ἄν· ἀρχὴ δ' ἥδε μοι προοιμίου.
εἶθ' εἶχες, ὦ τεκοῦσα, βελτίους φρένας.
τὸ μὲν γὰρ εἶδος αἶνον ἄξιον φέρει,
Ἑλένης τε καὶ σοῦ, δύο δ' ἔφυτε συγγόνω
ἄμφω ματαίω, Κάστορός τ' οὐκ ἀξίω.
ἡ μὲν γὰρ ἁρπασθεῖσ', ἑκοῦσ' ἀπῴχετο·
σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
σκῆψιν προτείνουσ', ὡς ὑπὲρ τέκνου πόσιν
ἔκτεινας· (οὐ γὰρ, ὡς ἔγωγ', ἴσασι σ' εὖ·)
ἢ τῆς θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγὰς,

1049. *ἀριθμὸν, κ. λ.* Difficilem locum ita explicat Seidlerus. " Vox *ἀριθμὸς* interdum ita occurrit, ut idem ferè significare videatur quod *ἀρθμὸς* sive *ῥυθμός*. Possis igitur explicare: *Si vero tibi hæc secus videantur, neque tu in congruentiam orationis meæ venis*, i. e. si mecum non consentis, *memento* &c."

1052. *καὶ νῦν.* Similiter noster in Alcest. 384. *καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.* Vide supra ad v. 682. Exemplis ibi citatis, adde unum ex fr. Aigei X. *τίς ἐσθ' ὁ φύσας; τοῦ κεκήρυξαι πατρός;*

1053. *εὐ λέγουσα.* Ingeniosam Elmsleii conjecturam in textum recepi, pro vulgato *ἆρα κλύουσα*, quæ lectio regulæ Porsonianæ (Orest. 64.) certè repugnat.

1057. *φέρει.* Porsonus in Adversariis mavult *φέρειν.*

1060. *ἀπώχετο.* Ita bene Piersonus pro vulgari *ἀπώλετο.*

1063. Ita optime Porsonus pro vulgato *ἴσασιν εὖ.*

1064. *κεκυρῶσθαι.* Verte, *priusquam filiæ cædes esset decreta*, Anglicè, *was determined upon.* Κυροῦσθαι, ratum haberi et institui,

νέον τ' ἀπ' οἴκων ἀνδρὸς ἐξωρμημένου,
ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
γυνὴ δ', ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
εἰς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
οὐδὲν γὰρ αὐτὴν δεῖ θύραιον εὐπρεπὲς
φαίνειν πρόσωπον, ἤν τι μὴ ζητῇ κακόν.
μόνην δὲ πασῶν οἶδ' ἐγώ σ' Ἑλληνίδων,
εἰ μὲν τὰ Τρώων εὐτυχοῖ, κεχαρμένην,
εἰ δ' ἥσσον' εἴη, συννεφοῦσαν ὄμματα,
'Αγαμέμνον' οὐ χρῄζουσαν ἐκ Τροίας μολεῖν.
καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι.
ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
ὃν Ἑλλὰς αὐτῆς εἵλετο στρατηλάτην.
Ἑλένης δ' ἀδελφῆς τοιάδ' ἐξειργασμένης,

ut in Demosthenis loco quem citat Steph. in Thesauro. πρῶτον μὲν παρ' ὑμῖν ἐν τοῖς ὀμωμοκόσι παρ' οἷσπερ καὶ τὰ ἄλλα κυροῦται. Sed vide Blomf. Glossar. ad Prom. 70.

1066. πλόκαμον κόμης. Eodem modo dicitur πλόκαμος τριχὸς Æsch. Sept. contra Theb. 560. πλοκάμους τριχός. Iph. A. 1438. βοστρύχους κόμης Hel. 1240.

1068. διάγραφ'. Anglicè verteremus, *Set her down as a bud woman.*

1069. Ita pro θύραισιν legunt Porsoni Editores in Adversariis.

1072. τὰ Τρώων εὐτυχοῖ. Ita edidi ex conjecturâ Musgravii, quam probavit, et in textum intulit Schæferus. Vulgo editur πατρῷ' ἦν, vel ex emend. Canter. τὰ Τρῷ' ἦν.

1073. συννεφοῦσαν. *Coactis nubibus obscurantem.* Frequens metaphora apud Poetas tum Græcos tum Latinos. Hippol. 172. στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται. Æschylus quoque in Sept. c. Theb. 214. pingit ὕπερθ' ὀμμάτων κρημναμέναν νεφέλαν. Ita Creon in Phœn. 1328. ob mœstum vultum συννεφὴς dicitur, quod rectè Scholiastes exponit στύγνος, κατήφης. Cic. *Frontis tuæ nubeculam pertimescerem.* Claud. de raptu Proserpinæ, *sublime caput mæstissima nubes Asperat.* Notissimum est illud Horatii, *Deme supercilio nubem.* Plura vide ap. Valck. ad Hipp. 173. et fragm. Danaes I.

ἐξῆν κλέος σοι μέγα λαβεῖν· τὰ γὰρ κακὰ
παράδειγμα τοῖς ἐσθλοῖσιν, εἴσοψιν τ' ἔχει.
εἰ δ', ὡς λέγεις, σὴν θυγατέρ' ἔκτεινεν πατὴρ,
ἐγὼ τί σ' ἠδίκησ', ἐμός τε σύγγονος;
πῶς οὐ, πόσιν κτείνασα, πατρῴους δόμους
ἡμῖν προσῆψας, ἀλλ' ἀπηνέγκω λέχη
τἀλλότρια, μισθοῦ τοὺς γάμους ὠνουμένη;
κοὔτ' ἀντιφεύγει παιδὸς ἀντὶ σοῦ πόσις,
οὔτ' ἀντ' ἐμοῦ τέθνηκε, δὶς τόσως ἐμὲ
κτείνας ἀδελφῆς ζῶσαν· εἰ δ' ἀμείψεται
φόνον δικάζων φόνος, ἀποκτενῶ σ' ἐγὼ,
καὶ παῖς Ὀρέστης πατρὶ τιμωρούμενοι.
εἰ γὰρ δίκαι' ἐκεῖνα, καὶ τάδ' ἔνδικα.
ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηρὰν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.

ΧΟ. τύχη γυναικῶν εἰς γάμους· τὰ μὲν γὰρ εὖ,
τὰ δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν.

1080. εἴσοψιν. Heathius vertit: *rem in quam intueantur, et inde documenta sibi utilia hauriant.* Conferre possis Hor. Sat. I. 4. 105. Insuevit pater optimus hoc me, Ut fugerem, exemplis, vitiorum quæque, notando.

1089. δικάζων. *Ulciscens.* Sic vertit Markl. ad Supp. 1215. ubi alia ejusdem significationis exempla V.D. attulit. Citatis adde Soph. Œd. Tyr. 1218. χρόνος δικάζει τὸν ἄγαμον γάμον πάλαι τεκνοῦντα καὶ τεκνούμενον.

1092. ἢ εὐγένειαν. Crasis insolentior, qualis est μὴ αὐτὸς Aristoph. Eccl. 639. Μὴ, ἀλλὰ. Ran. 624. Av. 109. μὴ ἀντὶ Eur. Andr. 809. Plura adeas ap. Monk. ad Hipp. 1331.

1096. πίπτοντα. Conferre possis Orest. 603. Οἷς γάμοι μὴ πίπτουσιν

ΚΛ. ὦ παῖ, πέφυκας πατέρα σὸν στέργειν ἀεί.
ἔστιν δὲ καὶ τόδ'· οἱ μέν εἰσιν ἀρσένων,
οἱ δ' αὖ φιλοῦσι μητέρας μᾶλλον πατρός.
ξυγγνώσομαί σοι· καὶ γὰρ οὐχ οὕτως ἄγαν
χαίρω τι, τέκνον, τοῖς δεδραμένοις ἐμοί.
σὺ δ' ὧδ' ἄλουτος καὶ δυσείματος χρόα,
λεχὼ νεογνῶν ἐκ τόκων πεπαυμένη;
οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων·
ὡς μᾶλλον, ἢ χρῆν, ἤλασ' εἰς ὀργὴν πόσιν.
ΗΛ. ὀψὲ στενάζεις, ἡνίκ' οὐκ ἔχεις ἄκη.
πατὴρ μὲν οὖν τέθνηκε· τὸν δ' ἔξω χθονὸς
πῶς οὐ κομίζει παῖδ' ἀλητεύοντα σόν;
ΚΛ. δέδοικα· τοὐμὸν δ', οὐχὶ τοὐκείνου, σκοπῶ.
πατρὸς γάρ, ὡς λέγουσι, θυμοῦνται φόνῳ.
ΗΛ. τί δὴ πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις;

εὖ. Med. 54. τὰ δεσποτῶν κακῶς πιτνοῦντα. Æsch. Agam. 32. εὖ πέσοντα. Cic. ad Att. 3. 7. *Sane ita cadebat, ut vellem.* Hos duo versus ita vertit Grotius. *Fortuna varia nuptiis, video cadant Quibus secundæ, video quibus improsperæ.*

1097. πέφυκας. *Naturâ comparata es.* Elegantem hunc usum præteriti perfecti verbi φύω notent tirones. Interdum cum infinitivo construitur, ut hic, et Soph. Philoct. 79. ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα τοιαῦτα φωνεῖν, quibus adde Thucyd. πεφύκασι τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, interdum cum præpositione πρός, ut Aristot. Eth. II. cap. penult. αὐτοὶ δὲ μᾶλλον πεφύκαμεν πρὸς τὰς ἡδονάς.

1098. εἰσιν ἀρσένων. "Verbum εἶναι cum Genitivo generaliter fere notat possessionem vel *propriam* vel *metaphoricam*, et cui servimus, gratias debemus, adhæremus, cujus verbis adducimur, vel partes sequimur, illius esse dicimur." Herm. ad Vig. p. 188. Ita fere Minerva in Æsch. Eum. 741. Κάρτα δ' εἰμὶ τοῦ πατρός.

1103. λεχώ. Vide supra ad v. 649.

1111. δή. Ita dedi pro vulgari

ΚΛ. τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.
ΗΛ. ἀλγῶ γάρ· ἀλλὰ παύσομαι θυμουμένη.
ΚΛ. καὶ μὴν ἐκεῖνος οὐκ ἔτ' ἔσται σοὶ βαρύς.
ΗΛ. φρονεῖ μέγ'· ἐν γὰρ τοῖς ἐμοῖς ναίει δόμοις.
ΚΛ. ὁρᾷς, ἃ νῦν σὺ ζωπυρεῖς νείκη νέα;
ΗΛ. σιγῶ· δέδοικα γάρ νιν, ὡς δέδοικ' ἐγώ.
ΚΛ. παῦσαι λόγων τῶνδ'· ἀλλὰ τί μ' ἐκάλεις, τέκνον;
ΗΛ. ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων·
τούτων ὑπέρ μου θῦσον, οὐ γὰρ οἶδ' ἐγὼ,
δεκάτην σελήνην παιδος, ὡς νομίζεται·

particulâ δαι, quam e Tragicis, assentiente Porsono ad Orest. 1008. Brunckius eximendam esse judicat.

1115. *φρονεῖ μέγ*. *Superbit*. Ita rectè vertit Monk. ad Hipp. 447. Phrasis occurrit in hoc sensu ap. nostrum Hipp. 6. Andr. 1009. Iph. T. 503. Herc. F. 475. Andr. fr. xv. 2.

1116. *ζωπυρεῖς*. *Suscitas*. Suid. *Ζωπυρεῖ. ἀναζῆν ποιεῖ, ἢ ἐκκαίει.*— Etym. Mag. p. 413, 5. *Ζωπυρεῖν, κυρίως τοὺς ἄνθρακας φυσᾶν*, quo sensu Vetus Comicus *Ὦ τρὶς κατάρατε, ζωπύρει τοὺς ἄνθρακας*, et Achill. Tat. vii. p. 399. *ἀνεζωπύρησεν ἐξαίφνης ὕλην*. Figuratâ notione in hoc loco usurpatur, ut *ἐκζωπυρεῖν πόλεμον* Aristoph. Pac. 309. cui simile est Virgilianum illud, *Martem accendere cantu*. *προσεξέκαιον εὐθὺς, καὶ ἀνεζωπύρουν ταύτην τοῦ Ἀλεξάνδρου ἐπιθυμίαν.* Lucian. T. III. 148. 29. Eâdem ferè metaphorâ voces *incendere*, *inflammare*, *suscitare*, passim occurrunt apud Latinos.

1117. *δέδοικα—ὡς δέδοικ'*. De hâc formulâ vide supra ad v. 287. Plerumque usurpatur, ubi de injucundis loquentes, uberiorem rei explicationem declinamus. Hic vero tectè significat Electra, se non amplius Ægisthum metuisse.

1120. *θῦσον*. i. e. *δεκατήν σελήνην*. Cujus generis loquendi multa extant exempla. *Θύειν γάμους* ap. Æl. 8. 7. nihil est quam *propter nuptias sacrificare*. Ita *θύειν ἐπινίκια* *ob partam victoriam sacrificare*, Diod. Sic. xvi. 18. pro quo festivè Aristoph. Eccl. 1173. dixit *δείπνειν ἐπινίκια*.

1121. *δεκάτην σελήνην*. Sic edidi pro *δεκάτῃ σελήνῃ* ex conjecturâ Musgravii, et in versu præcedenti *μοῖ* pro *μοῦ* secundum Ed. Vict. Princ. Aristoph. Av. 923. a Mus-

τρίβων γὰρ οὐκ εἰμ', ἄτοκος οὖσ' ἐν τῷ πάρος.
ΚΛ. ἄλλης τόδ' ἔργον, ἥ σ' ἔλυσεν ἐκ τόκων.
ΗΛ. αὐτὴ 'λόχευον, κἄτεκον μόνη βρέφος.
ΚΛ. οὕτως ἀγείτων οἶκος ἵδρυται φίλων;
ΗΛ. πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
ΚΛ. ἀλλ' εἶμι· παιδὸς ἀριθμὸν ὡς τελεσφόρον
θύσω θεοῖσι· σοὶ δ' ὅταν πράξω χάριν
τήνδ', εἶμ' ἐπ' ἀγρὸν, οὗ πόσις θυηπολεῖ

gravio citatus, οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ; καὶ τοὔνομ' ὥσπερ παιδίῳ νῦν δὴ 'θέμην. Conferri potest ejusdem dramatis v. 494. 'Ες δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς, Angl. *Being invited to the Christening*. Ubi Schol. inquit, Ὅτι τὴν δεκάτην ἑστίων ἐπὶ τοῖς γεννηθεῖσι, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί. καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ· τίς σε μᾶτερ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν; (rectius τίς ὠνόμαζέ σε δεκάτῃ, μήτηρ, τόκου, ut vult Toup. ad Suid. I. p. 86.) ὁ δὲ 'Αριστοτέλης ἐν ταῖς ἑβδόμαις φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων οὕτω· τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν ἑβδόμην· διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες μᾶλλον τότε τῇ σωτηρίᾳ. Ex his discimus infantibus olim apud Græcos nomina die *decimo*, aliquando *septimo*, a nativitate imponi solita fuisse.

Ibid. σελήνην. *noctem.* Quo sensu vocem usurpat Clem. Alex. a Musgravio citatus. Ita *Sol* pro *dies* sumitur apud Latinos. *Tres cæcâ incertos caligine soles Erramus*. Virg. *Fulsere quondam candidi tibi soles.* Catull. Ita ἥλιος supra v. 649.

1124. αὐτή. *Sola.* At licet αὐτὸς sæpe pro μόνος ponatur, αὐτὸς μόνος non est tautologia, ut observavit Pors. ad Phœn. 1245. Quare ordo verborum in hoc loco potest esse, deletâ (ut fecit Seidlerus,) distinctione post λόχευον, αὐτὴ μόνη λόχ. κ. β.

1126. πένητας. Conferre possis Med. 561. πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος· et Phœn. 414. εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδὲν ἤν τις δυστυχῇ. quod ita ferè expressit Ovid. *Nullus ad amissas ibit amicus opes.*

1127. ἀριθμὸν τελεσφόρον. Quid sit, Musgravius non intellexit. Recte ita Seidlerus interpretatur. Sacrificium, ut supra dictum est, vocabatur δεκάτη σελήνη sive simpliciter δεκάτη. Hæc δεκάτη ipsa igitur est *numerus pueri plenus* scil. dierum sive noctium. Ideoque, si dici potest δεκάτην θύειν, rectè etiam dicetur ἀριθμὸν τελεσφόρον θύειν.

Νύμφαισιν· ἀλλὰ τούσδ' ὄχους, ὀπάονες,
φάτναις ἄγοντες πρόσθεθ'· ἡνίκ' ἂν δέ με
δοκῆτε θυσίας τῆσδ' ἀπηλλάχθαι θεοῖς,
πάρεστε· δεῖ γὰρ καὶ πόσει δοῦναι χάριν.

ΗΛ. χώρει πένητας εἰς δόμους· φρούρει δέ μοι,
μή σ' αἰθαλώσῃ πολύκαπνον στέγος πέπλους·
θύσεις γὰρ, οἷα χρή σε δαίμοσιν θύειν.
κανοῦν δ' ἐνῆρκται, καὶ τεθηγμένη σφαγὶς,
ἥπερ καθεῖλε ταῦρον, οὗ πέλας πέσει
πληγεῖσα· νυμφεύσει δὲ κἀν ᾅδου δόμοις,
ᾧπερ ξυνηῦδες ἐν φάει· τόσηνδ' ἐγὼ
δώσω χάριν σοι, σὺ δέ γ' ἐμοὶ δίκην πατρός.

ΧΟ. ἀμοιβαὶ κακῶν· μετάτροποι πνέου- στροφή.
σιν αὖραι δόμων· τότε μὲν ἐν λουτροῖς
ἔπεσεν ἐμὸς ἐμὸς ἀρχέτας,
ἰάκχησε δὲ στέγεα, λάϊνοί
τε θριγκοὶ δόμων, τάδ' ἐνέποντος· ὦ

1136. *θύσεις οἷα — θύειν.* Ænigmaticè hæc omnia in matrem Electra torquet, de quâ loquendi formulâ vide supra ad v. 287.

1139. *νυμφεύσει.* Frequens loquendi genus de morituris, cujus exempla sunt Iph. A. 461. *Ἅδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα.* Soph. Ant. 654. *μέθες τὴν παῖδ' ἐν Ἅδου τήνδε νυμφεύειν τινί.* 816. *Ἀχέροντι νυμφεύσω.* Ita ferè Virg. Æn. 7. 319. *Sanguine Trojano et Rutulo dotabere virgo, Et Bellona manet te pronuba.*

1140. *ξυνηῦδες.* Eodem modo Admetus morientem uxorem allocutus, inquit *ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ', ὅταν θάνω, καὶ δῶμ' ἑτοίμαζ', ὡς ξυνοικήσουσά μοι.* Alcest. 374.

1146. *ἐνέποντος.* Subaudi *αὐτοῦ.* In versu proximo scripsit Seidlerus *ὦ σχέτλια* pro *ὦ σχετλία.* Non opus erat, ut opinor, conferens Med. 869. Hec. 771. et Alcest. 757.

σχετλία, τί με, γύναι, φονεύεις, φίλαν
πατρίδα δεκέτεσιν ἐν σποραῖ-
σιν ἐλθόντ' ἐμάν;
παλίρρους δὲ τάνδ' ὑπάγεται δίκα ἀντιστρ.
διαδρομίου λέχους μελέαν· ἃ πόσιν
χρόνιον ἱκόμενον εἰς οἴκους,
Κυκλώπειά τ' οὐράνια τείχε', ὀ-
ξυθήκτῳ βέλει ἔκανεν αὐτόχειρ,
πέλεκυν ἐν χεροῖν λαβοῦσα· τλάμων
πόσις, ὅτι ποτὲ τὰν τάλαι-
ναν ἔσχεν κακόν.

1148. δεκέτεσιν ἐν σποραῖσιν. i. e. *post decimum annum.* Veterum simplicitatem admireris, qui *frugibus alternis, non consule,* annos computaverunt. De pleonastico usu præpositionis ἐν confer Br. ad Soph. Œd. R. 1112. et Hemsterh. ad Luc. Dial. Mort. I. 428.

1153. Κυκλώπεια. *A Cyclopibus exstructa.* Quicquid magnitudine suâ nobile est, Cyclopum manu fabricatum dicit Schol. in Stat. Theb. lib. i. Hoc vero epitheton inde natum videtur, quod Græci Mycenas Κυκλωπίων πόνον χερῶν (Eur. Iph. A. 1501.) crediderunt. Hinc Κυκλωπίδες ἑστίαι. Iph. T. 844. Κυκλωπείαν πόλιν Herc. F. 15. Κυκλώπων θυμέλας Iph. A. 152. quæ omnia de Mycenis intelligi debent. In Troad. 1087. sententia occurrit nostro planè gemella, Ἱππόβοτον Ἄργος, ἵνα τείχεα λάϊνα, Κυκλώπι', οὐράνια νέμονται. Porro Cyclopas Architectos fuisse dicit Strabo, lib. viii. qui Prætum ex Asiâ reducem comitati sunt. Inter alia opera, quibus Græciam ornaverunt, annumeranda etiam esse Mycenarum mœnia, testis est Pausanias vii. 25. p. 589. De eorum quæ restant ædificiis egregiè disputavit Vir Reverendus T. S. Hughes, (Travels in Sicily, Greece, and Albania, Vol. I. Chap. 7.)

1154. αὐτόχειρ. *Propriâ manu.* De *cæde* semper hoc verbum usurpat Euripides, ut et αὐθέντης, de quo vide Markl. ad Supp. 442. Hic forsan αὐτόχειρ idem significat ac ἑκουσία, ut αὐτόχειρι τρόπῳ dicitur pro ἑκουσίῳ τρόπῳ in Orest. 1038. ubi vide Porsonum.

ὀρεί' ἄτις ὡς λέαιν' ὀργάδων ἐπῳδός.
δρύοχα νεμομένα, τάδε κατήνυσεν.
ΚΛ. ὦ τέκνα, πρὸς θεῶν μὴ κτάνητε μητέρα.
ΧΟ. κλύεις ὑπώροφον βοάν;
ΚΛ. ἰώ μοι μοι.
ΧΟ. ᾤμωξα κἀγὼ πρὸς τέκνων χειρουμένης.
νέμει τοι δίκαν θεὸς ὅταν τύχῃ.
σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω,
τάλαιν', εὐνέταν.
ἀλλ' οἵδε μητρὸς νεοφόνοις ἐν αἵμασι
πεφυρμένοι, βαίνουσιν ἐξ οἴκων πόδα·
τρόπαια δείγματ' ἀθλίων προσφθεγμάτων.
οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος
τῶν Ταντάλείων, οὐδ' ἔφυ ποτ', ἐκγόνων.
ΟΡ. ἰὼ Γᾶ, καὶ Ζεῦ πανδερκέτα βροτῶν·
ἴδετε τάδ' ἔργα φόνια μυσαρά.
δίγονα σώματ' ἐν χθονὶ κείμενα, πλαγᾷ
χερὸς ὑπ' ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.
ΗΛ. δακρύτ' ἄγαν, ὦ ξύγγον'· αἰτία δ' ἐγώ.

1165. *εἰργάσω-εὐνέταν.* Præpositione *εἰς* caret accusativus personæ, quod apud Atticos non infrequens. Ita Aristoph. Plut. 73. *κακόν τι μ' ἐργάσεσθε,* et 87. *'Ο Ζεύς με ταῦτ' ἔδρασεν.* Quibus adde D. Matth. Cap. xxvii. 22. *τί οὖν ποιήσω 'Ιησοῦν;*—Vide infra v. 1197.

1168. *βαίνουσιν πόδα.* Vide supra ad v. 94.

1169. *τρόπαια.* Ita h. l. explicat Hermannus. *Afferunt victricia documenta miseræ allocutionis,* i. e. sanguine victoriam præ se ferentes, ostendunt veram fuisse matris vocem occidi se clamitantis.

διὰ πυρὸς ἔμολον ἁ τάλαινα μητρὶ τᾷ-
δ', ἅ μ' ἔτικτε κούραν.
ἰὼ τὰς σᾶς τύχας, μάτερ τεκοῦ-
σ'· ἄλαστα, μέλεα,
καὶ πέρα γε παθοῦσα σῶν τέκνων ὕπαι·
πατρὸς δ' ἔτισας φόνον δικαίως.
ΟΡ. ἰὼ Φοῖβ', ἀνύμνησας δίκαν,
ἄφατα φανερὰ δ' ἐξέπρα-
ξας ἄχεα, φόνια δ' ὤπασας λέχε' ἀπὸ γᾶς
τᾶς Ἑλλανίδος.
τίνα δ' ἑτέραν μόλω πόλιν; τίς ξένος;
τίς εὐσεβὴς ἐμὸν κάρα προσόψεται,
μητέρα κτανόντος;

1177. διὰ πυρὸς ἔμολον. Sunt qui interpretantur, *per ignem incessi*, h. e. in periculoso negotio versatus sum, qualiter Aristoph. in Lysistr. 133. διὰ τοῦ πυρὸς θέλω βαδίζειν, et Hor. Od. II. i. 7. 8. *incedis per ignes suppositos cineri doloso.* Cui simile est illud Propertii I. 5. *Infelix, properas ultima nosse mala Et miser ignotos vestigia ferre per ignes.* Similis occurrit phrasis, atque eodem modo forsan interpretanda in Andr. 487. Eorum tamen opinioni propius accedo, qui hanc phrasin, per verbum nomini adfine, resolvi posse arbitrantur. Quas loquendi formulas egregiè illustravit Monk. ad Hipp. 1159. complura exempla citans. Ibi citatis adde Troad. 916. διὰ λόγων ἴοντ'. Hec. 839. δι' οἴκτου ἔχω. Orest. 1355. διὰ δίκας ἔβα.—διὰ πυρὸς μόλειν igitur nihil aliud est, quam *crudeli modo aliquem tractare.*

1179. ἰὼ τύχας. Hæc Oresti tribuenda esse putat Seidlerus. Huic assentio, sed ita, ut vulgata mutare non ausus sum.

1185. ὤπασας. i. e. ἐδίωξας, *extermináasti*, ut rectè post Heathium Seidlerus admonet. Ὀπάζω, *persequor*, κατόπιν διώκω, ut exponit Eustath. Confer Il. P. 462. Ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων, Ἀλλ' οὐχ ᾕρει φῶτας, ὅτ' ἐσσεύαιτο διώκειν,—ubi ὀπάζειν et διώκειν manifestè idem significant.

1189. ἐμὸν — κτανόντος. Vide supra ad v. 364. Citatis adde Arist. Plut. 33. τὸν ἐμὸν τοῦ ταλαιπώρου

ΗΛ. ἰώ μοι, μοι· ποῖ δ' ἐγώ;
τίν' εἰς χόρον;
τίνα γάμον εἶμι; τίς πόσις με δέξεται
νυμφικὰς ἐς εὐνάς;
ΟΡ. πάλιν πάλιν φρόνημα σὸν
μετεστάθη πρὸς αὔραν·
φρονεῖς γὰρ ὅσια νῦν, τότ' οὐ φρονοῦσα γ' εὖ.
δεινὰ δ' εἰργάσω, φίλα,
κασίγνητον οὐκ ἐθέλοντα.
κατεῖδες οἷον ἁ τάλαιν' ἄνω πέπλων
ἔβαλεν, ἔδειξε μαστὸν ἐν φοναῖσιν;
ἰώ μοι, μοι· πρὸς πέδῳ
τιθεῖσα γόνιμα μέλεα, τακόμαν δ' ἐγώ.
ΗΛ. σάφ' οἶδα, δι' ὀδύνας ἔβας,
ἰήϊον κλύων γόον

βίον, et Nub. 1204. ἡμέτερα κέρδη τῶν σοφῶν. item Nost. in Phœn. 30. τὸν ἐμὸν ὠδίνων πόνον.

1195. μετεστάθη πρὸς αὔραν. Proverbiale dictum, cui affine est illud præceptum Eccles. Cap. V. 9. μὴ λίκμα ἐν παντὶ ἀνέμῳ. Necnon Epist. ad Ephes. iv. 14. Ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ της διδασκαλίας.

1199. ἄνω. Ita pro ἑῶν, quod perperam erat, feliciter correxit Porsonus. Ad πέπλων subaudi ὑπό. quod reticetur etiam supra v. 123. nisi cum Hermanno locum istum suspectum habens, mavult aliquis σφαγαῖς.

1200. φοναῖσιν. Vulgo φοναῖς, contra metrum. Vide supra ad v. 157.

1202. τάκομαν. Ita restituit Seidlerus pro vulgato τὰν κόμαν, quod nemo, puto, facilè intellexerit.

1203. δι' ὀδύνας. Vide supra ad v. 1177. Phrasis δι' ὀδύνας ἔβας occurrit etiam in Phœn. 1577. et Alcest. 893.

1204. ἰήϊον. *Luctuosum.* Ἰήιοι κάματοι Œd. Tyr. 172. ab Hesychio exponuntur θρηνήτικοι πόνοι, ἀπὸ τοῦ Ἰαλέμου (τοῦ μούσης

μᾶτρὸς, ἅ σ' ἔτικτε.
ΟΡ. βοὰν δ' ἔλασκε τάνδε, πρὸς γένυν ἐμὰν
τιθεῖσα χέρας·
τέκος ἐμὸν, λιταίνω,
παρηΐδων τ' ἐξ ἐμᾶν
ἐκρήμναθ'· ὥστε χέρας ἐμὰς λιπεῖν βέλος.
ΧΟ. τάλαινα, πῶς ἔτλας φόνον
δι' ὀμμάτων ἰδεῖν σέθεν
ματρὸς ἐκπνεούσας;
ΟΡ. ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖ-
σι, φασγάνῳ κατηρξάμαν,
ματέρος ἔσω δέρας μεθείς.

παιδός. Schol. Apollon.) Ἰήϊον μέλος occurrit in Phœn. 1050.

1206. ἔλασκε. Hesych. Λάσκειν· λέγειν, φθέγγεσθαι. De articulato aliquo sono a Tragicis usurpari videtur hoc verbum. Apud nostrum occurrit Andr. 672. τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους; ubi tamen in conviciandi sensu potius accipitur. In Aristoph. Ach. 1045. τοιαῦτα λάσκων idem esse videtur ac τοιαῦτα φλυαρῶν.

1211. τάλαινα. De usu hujus vocis ita Tan. Fab. ad Aristoph. Eccl. 90. "Non semper miseros habebant Græci quos ita προσεφώνουν. aliquando enim φιλοφρονητικὸν erat, aliquando επιτιμητικόν."

1213. ἐκπνεούσας. *Expirantis.* Ita enim et Latini loquuntur. *Inter primam curationem expiravit.* Liv.

1215. κατηρξάμαν. i. e. τῆς σφαγῆς vel tale aliquid, quod in hoc verbo subaudiendum monuit Bos. Ell. p. 125. Κατάρχεσθαι propriè significat *auspicari sacra*, deinde per metonym. *occisionem hostiæ* interdum notat. Simili modo apud Latinos *immolari propriè dicuntur hostiæ non cum cæduntur, sed cum accipiunt molam salsam.* Serv. ad Virg. Æn. 10. 541. Latius tamen aliquando accipitur, et pro quâvis occisione apud Poetas usurpatur. Ita quoque in hoc loco κατάρχεσθαι, per quam vocem Orestes se matrem dicit occidisse. Kusterus ad Aristoph. Av. 960.

1216. ἔσω. Pro εἰς, quod rectè scribi posse monet Valck. ad Ph. 1570. citans hunc locum et Suppl. 1107.

ΗΛ. ἐγὼ δέ γ' ἐπεκέλευσά σοι,
ξίφους τ' ἐφηψάμαν ἅμα.
ΟΡ. δεινότατον παθέων ἔρεξας.
λαβοῦ, κάλυπτε μέλεα ματέρος πέπλοις
καὶ καθάρμοσον σφαγάς.
φονέας ἔτικτες ἆρα σοι.
ΗΛ. ἰδοὺ, φίλαν τε, κοὐ φίλαν,
φάρεά σέ γ' ἀμφιβάλλομεν,
τέρμα κακῶν μεγάλων δόμοισιν.
ΧΟ. ἀλλ' οἵδε δόμων ὕπερ ἀκροτάτων
φαίνουσι τινὲς δαίμονες, ἢ θεῶν
τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ'
ἥδε κέλευθος· τί ποτ' εἰς φανερὰν
ὄψιν βαίνουσι βροτοῖσιν;

1217. ἐγὼ δέ γ'. Ita edidi ex monito Pors. ad Orest. 1234. cui assentit Blomf. ad Sept. c. Theb. 212. cujus notam adire non pœnitebit.

1218. ἐφηψάμαν. Locum huic plane gemellum contulit Barnesius ex Orest. 1233. ΟΡ. ἔκτεινα μητέρ'. ΠΥ. ἡψάμην δ' ἐγὼ ξίφους.

1220. λαβοῦ. Hos quatuor versus, Choro in Edd. assignatos, Oresti tribui cum Seidlero, qui et ante καθάρμοσον in versu proximo addidit καί.

Ibid. κάλυπτε. Morem fuisse apud Græcos usitatissimum cadavera veste injectâ obvelare Tragici passim commemoraverunt. Confer Nostr. Troad. 623. Ἔκρυψα πέπλοις κἀπεκοψάμην νεκρόν. Ita Hippolytus moriens patri inquit κρύψον δέ μου πρόσωπον ὡς τάχος πέπλοις. Hipp. 1456. Idem Polyxena in Hec. 432. Ita in funere Patrocli apud Hom. Il. Σ. 352. illum ἑανῷ λιτὶ κάλυψαν, Ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ. quod φᾶρος Hesych. exponit ἱμάτιον καὶ περιβόλαιον.

1223. φίλαν. Ita Seidlerus. Vulgo φίλαι τε κοὐ φίλαι, et in versu proximo δὲ, pro quo Seidl. σέ. De oxymori figurâ vide supra ad v. 389.

ΔΙΟΣΚΟΥΡΟΙ.

Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε
καλοῦσι μητρὸς ξύγγονοι Διόσκοροι,
Κάστωρ, κασίγνητός τε Πολυδεύκης ὅδε.
δεινὸν δὲ ναυσὶν ἀρτίως πόντου σάλον
παύσαντ' ἀφίγμεθ' Ἄργος, ὡς εἰσείδομεν
σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
δίκαια μὲν νῦν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,
Φοῖβός σε, Φοῖβος· ἀλλ', ἄναξ γάρ ἐστ' ἐμός,
σιγῶ· σοφὸς δ' ὢν, οὐκ ἔχρησέ σοι σοφά.

1230. ΔΙΟΣΚΟΥΡΟΙ. Castor et Pollux, qui, ut bene Markl. ad Iph. T. 1487. pro uno tantum numine habendi sunt. Ita Lucian. I. p. 653. *τοὺς Διοσκούρους — ἤ τιν' ἄλλον ἐκ μηχανῆς θεόν.* *Διοσκούρους* autem apud Graios multis modis nominari testis est Cic. de Nat. Deor. III. 21.—Novies Poeta noster Deos Deasque *ἐκ μηχανῆς* induxit, nimis frequenter, ut jure Monkio videtur, cujus notam consulas ad Hipp. 1278.

1231. *καλοῦσι.* Iisdem ferè verbis in scenam prodeunt Dioscuri in Hel. 1660. *δισσοὶ δέ σε Διόσκυροι καλοῦμεν.*

1233. *ὅδε.* Vertas *præsto*, cum Blomfieldio, cujus doctissimam notam adeas ad Prom. 977. Vide etiam Monk. ad Hipp. 137.

1234. *δεινὸν δὲ. κ. λ.* Quod periclitantibus in mari subvenire Dioscuri credebantur, disces ex Ælian. Var. Hist. I. et Schol. in Lucian. III. p. 321. *οὗτοι γὰρ σωτῆρες ἐγένοντο τοῖς πλέουσι.* Conf. etiam Theocr. Id. XXII. et Hor. Od. I. 3. 2. Pleuius tamen Seneca in Nat. Quæst. I. 1. *In magnâ tempestate,* inquit, *apparent quasi stellæ velo insidentes: adjuvari se tum periclitantes existimant Pollucis et Castoris numine.* Inde eorum simulachra sæpe navium puppibus, ut tutela, affigebantur, " et pictos verberat unda Deos." Ov. Trist. I. 3. 110. Hinc explicandus est locus Act. Apost. cap. xxviii. 11.

1238. *σέ.* Vulgo *τέ.* Porsoni conjecturam sequor in Adversariis. Plenè esset *Φοῖβός σε ἠνάγκασ' εἰς τόδ' ἔργον.* aut aliquid simile.—

αἰνεῖν δ' ἀνάγκη ταῦτα· τοὐντεῦθεν δὲ χρὴ
πράσσειν, ἃ Μοῖρα, Ζεύς τ' ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον εἰς δόμους,
σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γὰρ ἔστι σοι πόλιν
τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.
δειναὶ δὲ Κῆρες, αἱ κυνώπιδες θεαὶ,
τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
ἐλθὼν δ' Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
πρόσπτυξον· εἴρξει γάρ νιν ἐπτοημένας
δεινοῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν,
γοργῶφ' ὑπερτείνουσά σου κάρᾳ κύκλον.
ἔστιν δ' Ἄρεός τις ὄχθος· οὗ πρῶτον θεοὶ

1240. αἰνεῖν. *To assent to, acquiesce in.* Ita bene interpretatur Monk. cujus annotata vide ad Alcest. 2. et ad Hipp. 37.

1244. κτείναντα. i. e. pro κτείναντι. Enallage constructionis usitatissima, cujus exempla sunt Æsch. Eum. 870. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ Εὖ δρῶσαν. Choeph. 409. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ, τόνδε κλύουσαν οἶκτον. Eur. Med. 810. σοὶ δὲ συγγνώμη λέγειν Τάδ' ἔστι, μὴ πάσχουσαν ὡς ἐγὼ, κακῶς. Conf. et Soph. Antig. 1001. Elect. 479.

1245. Κῆρες. *Furiæ.* Ita enim rectè exponit Seidlerus, citans Soph. Œd. T. 473. κῆρες ἀναπλάκητοι, et Herc. Fur. 870. κῆρας ἀνακαλῶν τὰς Ταρτάρου.

1250. γοργῶφ'. De hâc voce Porsonum consulas ad Med. 1363. qui Atticos, inquit, dicere sine discrimine γοργὼψ, γοργωπὸς, φλογὼψ, φλογωπὸς, ἀδμὴς, ἄδμητος, et similia.

1251. Ἄρεος ὄχθος. Idem ac Ἄρειος πάγος, de quo mentionem facit Auctor Act. Apost. xvii. 19. Vide etiam Œd. Col. 940. Æsch. Eum. 688.—Cecropiâ Pallas *scopulum Mavortis* in arâ Pingit. Ovid. Met. VI. 10. De Etymologiâ nominis haud consentiunt eruditi. Quidam enim Areopagi ab Amazonibus Martis filiabus nomen inditum arbitrantur. Rectius tamen alii ab ipso Marte nomen proficisci velint, qui ibi vel τῆς μοιχείας δίκας ἔδωκε, (Æcumen. in Act. xvii. 34.) vel ὑπὲρ Ἁλιῤῥοθίου τοῦ Ποσειδῶνος. (Marm. Arund.) Pausanias, de ἀκρο-

ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι·
Ἁλιρρόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,
μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,
πόντου κρέοντος παῖδ', ἵν' εὐσεβεστάτη
ψῆφος, βεβαία τ' ἐστὶν ἔκ γε τοῦ θεοῖς.
ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι,
ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ

πόλει locutus, hæc addit. Ἔστι δὲ ἐν αὐτῇ κρήνη, παρ' ᾗ λέγουσι Ποσειδῶνος παῖδα Ἁλιρρόθιον, θυγατέρα Ἄρεως Ἀλκίππην αἰσχύναντα, ἀποθανεῖν ὑπὸ Ἀρέως.—Ἄρειος πάγος· ἐν Ἀθήναις δικαστήριον ἐν τῇ ἀκροπόλει. Hesych. Ἀρήϊον πάγον,—ἀκροπόλιος ὄχθον. Herodot. VIII. 52. Vide etiam Iph. T. 945.

1254. μῆνιν. Hoc genus appositionis ita explicat Seidlerus. (ὅ, scil. ὅτι αὐτὸν ἔκτανεν,) ἦν μῆνις, κ. τ. λ. Herm. de Ellips. et Pleon. p. 180. citans Æsch. Eum. 234. monet, μῆνιν hic idem esse quod μήνιμα, ap. Hom. Il. X. 358. Od. Λ. 73. ubi observandum est hanc vocem de *odio divino* tantummodo usurpari.

1255. κρέοντος. Πόντου κρέοντι occurrit Eurip. Hipp. 1168. (Ed. Monk. 1163.) Ad hæc loca Eustathius respiciens, ὁ κρείων inquit, καὶ κρέων λέγεται, ὅθεν Πόντου κρέων ὁ Ποσειδῶν παρ' Εὐριπίδῃ. Plura dedit Valckn. in loco supra citato.

Ibid. εὐσεβεστάτη. Confer Orest. 1666. θεοὶ δέ σοι δίκης βραβεῖς Πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην ψῆφον διοίσουσ'.

1256. ἔκ γε τοῦ. Supple χρόνου, ut ἀπὸ τοῦ νῦν Luc. Evang. xxii. 69. Levi mutatione γε pro τε post Schæferi conjecturam edidi cum Seidlero.

1257. δραμεῖν. Intellige κίνδυνον, aut tale aliquid, quod plenè Dionys. in Isocrate dixit τὸν περὶ ψυχῆς τρέχων κίνδυνον. Cf. Orest. 869. Iph. A. 1456.

1258. ἴσαι—ψῆφοι. Orestem æquali suffragiorum numero absolutum esse patet ex Æsch. Eum. 757. Eur. Iph. T. 965. 1469. quæ loca consuluisse profuerit. Consulas etiam Aristot. Sect. XXIX. Prob. 13. qui multas ibi rationes assignat, cur, cum accusatori et reo par numerus calculorum contigerit, reus absolveretur. Schol. in Aristoph. Ran. 697. hunc locum inter alia citans, ἡ τῶν ψήφων, inquit, ἰσότης, ἣν ἰσοψηφίαν καλοῦμεν, τοὺς κατηγορουμένους καὶ φεύγοντας ἀπολύει.

Ibid. ἐκσώζουσι. Jure forsan exspectes ἐκσωσουσι quod conjecit

ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν
εἰς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.
καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
νικᾷν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.
δειναὶ μὲν οὖν θεαὶ τῷδ' ἄχει πεπληγμέναι,
πάγον παρ' αὐτὸν χάσμα δύσονται χθονὸς,
σεμνὸν βροτοῖσιν εὐσεβὲς χρηστήριον.
σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς
οἰκεῖν, Λυκαίου πλησίον σηκώματος.
ἐπώνυμος δέ σου πόλις κεκλήσεται.

Porsonus. Vide tamen, ne ut sæpe alias, præsens hic ponatur vice futuri, ad notandam rei certitudinem. Optimè verò Porsonus ad Hec. 21. *Diversa*, inquit, *tempora toties permiscent Tragici, ut hanc varietatem datâ operâ quæsîsse videantur.*

1261. τοῖσι λοιποῖς. Eandem fere sententiam habes in Iph. T. 1471. Æsch. Eum. 487. Marmoribus Arundelianis Curiæ Areopagiticæ institutionem sub Cranai tempora viri docti reposuerunt, i. e. Ant. Chr. ann. circiter 1532.

1263. φεύγοντ'. i. e. *The defendant*. Verbum est forense, et *reum* denotat, cui semper opponitur ὁ διώκων, *the plaintiff*. Ita Plut. in Pericle. φεύγει δίκην ἀσεβείας, Ἑρμίππου διώκοντος. Lucian. II. 899. ὁ μὲν διώκων, ὁ δὲ φεύγων. In sensu planè forensi interpretandum est verbum διωκόντων in Evang. D. Matth. v. 44.

1264. χάσμα. Ita Æsch. Eum. 1038. χωρεῖτε Γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισι.

1265. χρηστήριον. De institutione hujus templi ita loquitur Noster in Iph. T. 968. ὅσαι μὲν (sc. Ἐριννύων) οὖν ἕζοντο πεισθεῖσαι δίκῃ, ψῆφον παρ' αὐτὴν (*prope ipsum locum ubi suffragia data sunt*,) ἱερὸν ὡρίσαντ' ἔχειν. Ita enim vocem ψῆφος eruditè explicavit Piers. ad Mœr. p. 352. Quæ forsan interpretatio eidem voci in v. 1252. quam optimè conveniet. Templum autem Eumenidum Areopago esse proximum, discimus e Schol. in Thucyd. Hist. I. 126. τῶν Ἐριννύων· ἃς μετὰ τὸν Ὀρέστην οἱ Ἀθηναῖοι πλησίον τοῦ Ἀρείου πάγου ἱδρύσαντο, ἵνα πολλῆς τιμῆς τύχωσιν. Ejus meminit et Aristoph. Eq. 1309.

1266. Ἀρκάδων. Eandem ferè sententiam expressit Noster in Or. 1659. 1663. quæ contulit Barnesius.

σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ·
μητέρα δὲ τὴν σὴν, ἄρτι Ναυπλίαν παρὼν
Μενέλαος, ἐξ οὗ Τρωϊκὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων
ἥκει λιποῦσ' Αἴγυπτον, οὐδ' ἦλθεν Φρύγας.
Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
εἴδωλον Ἑλένης ἐξέπεμψ' εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν, κόρην τε καὶ δάμαρτ' ἔχων,
Ἀχαΐδος γῆς οἴκαδ' εἰσπορευέτω,
καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω

1276. *εἴδωλον.* Hanc fabulam, quæ Stesichorum auctorem habuit, repetit Noster in Hel. 33. *Δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ Εἴδωλον ἔμπνουν*, ubi multa bene disputavit Barnesius, Herodotum citans II. 113. et seqq. Lucem quoque attulit ex loco Philostrati, qui Apollonium Tyaneum testatur Achillis umbram ita interrogasse. *Τρίτον ἠρόμην, ἡ Ἑλένη, ὦ Ἀχιλλεῦ, ἐς Τροΐαν ἦλθεν, ἢ Ὁμήρῳ ἔδοξεν ὑποθέσθαι ταῦτα;* Achilles respondet, *Πολὺν χρόνον ἐξηπατώμεθα, πρεσβευόμενοι τε παρὰ τοὺς Τρῶας, καὶ ποιούμενοι τὰς ὑπὲρ αὐτῆς μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης. Ἡ δ' Αἴγυπτον τε ᾤκει, καὶ τὸν Πρωτέως οἶκον, ἁρπασθεῖσα ὑπὸ τοῦ Πάριδος. Ἐπεὶ δὲ ἐπιστεύθη τοῦτο, ὑπὲρ αὐτῆς τῆς Τροίας λοιπὸν ἐμαχόμεθα, ὡς μὴ αἰσχρῶς ἀπέλθοιμεν.* Hæc et plura Barnesius in loc. citat. Helenam reverâ in Egypto fuisse, liquet ex Theophrast. Hist. Plant. IX. 15. Plin. Nat. Hist. XXV. 1. qui Homeri citant Odyss. IV. 228. His adde Eustath. in Odyss. IV. 369.

1278. *εἰσπορευέτω.* Herman. de Ellips. et Pleon. hæc ita interpretatur. *Ἀχαΐδος γῆς* pertinet ad *εἰσπορευέτω*, quod est, *πορευέτω εἴσω Ἀχ. γῆς, οἴκαδε.* Angli forsan diceremus, *Let him go home to Greece.*

1279. *πενθερόν.* Hujus vocis significatio latè diffunditur, plerumque *socerum*, hic vero *sororis maritum* sonans, atque ita eam rectè explicat Barnesius. Eundem *αὐτουργον* ab Orestes honorificè exceptum legimus supra v. 260.

Φωκέων ἐς αἶαν, καὶ δότω πλούτου βάρος.
σὺ δ', Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ,
χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα·
πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου,
εὐδαιμονήσεις τῶνδ' ἀπαλλαχθεὶς πόνων.

ΧΟ. ὦ παῖδε Διὸς, θέμις εἰς φθογγὰς
τὰς ὑμετέρας ἡμῖν πελάθειν;
ΔΙ. θέμις, οὐ μυσαροῖς τοῖσδε σφαγίοις.
ΟΡ. κἀμοὶ μύθου μέτα, Τυνδαρίδαι;
ΔΙ. καὶ σοί· Φοίβῳ τήνδ' ἀναθήσω
πρᾶξιν φονίαν.
ΧΟ. πῶς, ὄντε θεὼ, τῆσδέ τ' ἀδελφὼ,
τῆς κατφθιμένης,
οὐκ ἠρκέσατον κῆρας μελάθροις;

1281. Ἰσθμίας. Barnes. ad Herc. F. 968. post Galenum hæc scribit. Ἰσθμὸς ὡς Γαληνός φησι· στεναί εἰσι γῆς διέξοδοι, μεταξὺ δυοῖν θαλαττοῖν. Proprie tamen est ea pars quæ μεταξὺ τοῦ στόματος καὶ τοῦ στομάχου interjacet. Αὐχένα γῆς nos ad verbum redderemus *A neck of land.*

1288. μέτα pro μέτεστι. Notissimum est, quod ab omni colloquio graviorum criminum rei interdicebantur, de quâ interdictione multa passim reperies apud Tragicos. Inter alia, consulas Æsch. Eumen. 451. Ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος. Eur. Or. 47. et Soph. Œd. T. 246. μήτε προσφωνεῖν τινα. Vide etiam Herc. Fur. 1218. 1233. Ob silentium igitur τοῖς προστροπαίοις indictum, necesse erat ut Orestes timidus atque hæsitans et supplicantis ritu fratres Helenæ compellaret.

1292. κατφθιμένης. Ita pro vulgari καταφθιμένης legendum esse monet Blomfieldius ad Æsch. Sept. c. Theb. 740. ubi ex exemplis ab eo citatis hunc loquendi morem Atticis familiarem esse satis constat.

1293. ἠρκέσατον. Vult Elmsleius ἠρκεσάτην. Secundam personam dualem a tertiâ diversam non esse ostendit V. D. ad Acharn. 733. Locum vero edidi, prout a Porsono citatur ad Phœniss. 938. — ἀρκέω.

ΔΙ. μοίραν ἀνάγκης ἦγεν τὸ χρεὼν,
Φοίβου τ' ἄσοφοι γλώσσης ἐνοπαί.
ΗΛ. τί δὲ μ' Ἀπόλλων; ποῖοι χρησμοὶ
φονίαν ἔδοσαν μητρὶ γενέσθαι;
ΔΙ. κοιναὶ πράξεις, κοινοὶ δὲ πότμοι·
μία δ' ἀμφοτέρους
ἄτη πατέρων διέκναισεν.
ΟΡ. ὦ ξύγγονέ μοι, χρονίαν σ' ἐσιδὼν,
τῶν σῶν εὐθὺς φίλτρων στέρομαι,
καί σ' ἀπολείψω, σοῦ λειπόμενος.
ΔΙ. πόσις ἐστ' αὐτῇ καὶ δόμος· οὐχ ἥδ'
οἰκτρὰ πέπονθεν, πλὴν ὅτι λείπει
πόλιν Ἀργείων.
ΟΡ. καί τίνες ἄλλαι στοναχαὶ μείζους,
ἢ γῆς πατρίας ὅρον ἐκλείπειν;
ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρὸς,
καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον

eundem hic planè sensum habet, quem *arceo* apud Latinos.

1294. Versum hunc fædè depravatum ita restituere conatus est Seidlerus, Hecubam citans v. 43. ἡ πεπρωμένη δ' ἄγει Θανεῖν ἀδελφήν. et Hel. 243. ἄγουσα θάνατον. Vulgo legitur μοίρας ἀνάγκης ἡγεῖτο χρεὼν, contra sensum pariter et metrum. In versu proximo mallem τε σόφοι, receptam tamen ab omnibus lectionem mutare nolo.

1308. πατρίας. Ita pro πατρῴας restitui, monente Blomfield. ad Æsch. Sept. contra Theb. 929. quem vide. Consulas quoque Monk. ad Alcest. 257. 905. Quamvis tamen πάτριος et πατρῷος multum apud Tragicos confusa sunt, ita eorum significationem distinxit Grævius in Lucian. Pseudol. 5. πατρῷον id appellans, quod ad *patrem*, πάτριον quod ad *patriam* plerumque spectet. In hoc versu, et in aliis quod *omnes*

μητρὸς ὑφέξω.
ΔΙ. θάρσει· Παλλάδος ἥξεις ὁσίαν
πόλιν· ἀλλ' ἀνέχου.
ΗΛ. περί μοι στέρνοις στέρνα πρόσαψον,
ξύγγονε φίλτατε·
διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρίων
μελάθρων μητρὸς φόνιοι κατάραι.
ΟΡ. βάλε, πρόσπτυξον σῶμα, θανόντος δ'
ὡς ἐπὶ τύμβῳ καταθρήνησον.
ΔΙ. φεῦ, φεῦ· δεινὸν τόδ' ἐγηρύσω
καὶ θεοῖσι κλύειν.
ἔνι γὰρ κἀμοὶ, τοῖς τ' οὐρανίδαις
οἶκτοι θνητῶν πολυμόχθων.
ΟΡ. οὐκ ἔτι σ' ὄψομαι.
ΗΛ. οὐδ' ἐγὼ εἰς σὸν βλέφαρον πελάσω.
ΟΡ. τάδε λοίσθιά μοι προσφθέγματά σου.
ΗΛ. ὦ χαῖρε πόλις·
χαίρετε δ' ὑμεῖς πολλὰ πολίτιδες.

omnium caritates patria una complexa est, poeta ostendit, et quod Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς. Phœn. 417.

1312. ἥξεις ὁσίαν. Hæ voces vulgo transponuntur. Seidleri lectionem, quæ et Monkio placet, in textum recepi, *rarissimè enim,* ut V. D. observat ad Hipp. 1362. *in legitimo systemate anapæstum dactylo subjecerunt Tragici.*

Ibid. Παλλάδος πόλιν. *Athenæ,* quæ πόλισμα Παλλάδος vocatur Med. 769. Iph. T. 1014. Herc. F. 1323. Παλλάδος ἐν πόλει occ. Hec. 464. *Palladis urbem,* Hor. Od. I. 7. 5.

1316. πατρίων. Vide supra annotata ad v. 1308.

1328. χαίρετε πολλά. Huic respondet Plautinum illud *Multum vale.* χαίρε πολλά γ' occurrit Aristoph. Acharn. 832.

ΟΡ. ὦ πιστοτάτη, στείχεις ἤδη;
ΗΛ. στείχω, βλέφαρον τέγγουσ' ἁπαλόν.
ΟΡ. Πυλάδη, χαίρων ἴθι· νυμφεύου
δέμας Ἠλέκτρας.
ΔΙ. τοῖσδε μελήσει γάμος· ἀλλὰ κύνας
τάσδ' ὑποφεύγων, στεῖχ' ἐπ' Ἀθηνῶν.
δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
χειροδράκοντες, χρῶτα κελαιναὶ,
δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι.
νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ
σώσοντε νεῶν πρώρας ἐνάλους·
διὰ δ' αἰθερίας στείχοντε πλακὸς,
τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν·
οἷσιν δ' ὅσιον καὶ τὸ δίκαιον
φίλον ἐν βιότῳ, τούτους, χαλεπῶν
ἐκλύοντες μόχθων, σώζομεν.
οὕτως ἀδικεῖν μηδεὶς θελέτω,

1332. δέμας. Tragicos δέμας et σῶμα simpliciter pro personis adhibuisse V. D. jamdudum observaverunt. Eodem modo *Laurentis corpore Turni* pro Turno.—*Ante omnia corpora Nisus Emicat.* Virg.

1333. κύνας. *Furias.* Quod dirissima quæque monstra apud poetas κύνες appellabantur, ostendit Brunck. ad Œd. T. 391. Apollonium inter alios citans, qui Harpyias vocat II. 289. μεγάλοιο Διὸς κύνας. Simili modo apud Latinos *serpentes atque videres Infernas errare* canes. Hor. Sat. I. 8. 34. *Visæque* canes *ululare per umbram.* Virg.

1334. ἐπ' Ἀθηνῶν. In solutâ oratione dixisset ἐπ' Ἀθηνας.

1339. σώσοντε. De Dioscurorum officio, vide supra ad 1234.

1346. συμπλείτω. Comparavit Barnesius Horatianum illud Od. III. 2. 26. *Vetabo, qui Cereris sacrum Vulgarit arcanæ, sub iisdem Sit tra-*

μήδ' ἐπιόρκων μέτα συμπλείτω,
θεὸς ὢν θνητοῖς ἀγορεύω.
ΧΟ. *χαίρετε· χαίρειν δ' ὅστις δύναται,*
καὶ ξυντυχίᾳ μή τινι κάμνει
θνητῶν, εὐδαίμονα πράσσει.

bibus, fragilemque mecum Solvet phaselum.

1348. *χαίρειν. Contentum esse,* quâ significatione occurrit in Soph. Aj. 113. *χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι.* Vide Herm. ad Vig. p. 605.

1350. *εὐδαίμονα.* Seidlero assentiens, hanc vocem non accusativum singularis puto, intellecto *βίον,* sed neutrum pluralis loco adverbii *εὐδαιμόνως.* Huc respicit *κεδνὰ πράξειν.* Alc. 621. *ἔπραξεν ἔνδικα.* Orest. 531.

ADDENDA IN NOTAS.

V. 4. Pro ἐν Ἰλιάδι χθονὶ reponendum censet ἐν Ἰδαίᾳ χθονὶ Cl. Elmsleius in Mus. Crit. ii. p. 296. quam lectionem tuetur e Soph. Aj. 434. ὅτου πατὴρ μὲν τῆσδ' απ' Ἰδαίας χθονὸς, κ. τ. λ.

15. Valck. ad Phœn. 88. Bis, inquit, tantum apud Euripidem hoc usu figurato θάλος reperitur, alibi nuspiam apud Tragicos; sed aliquoties in Orphei hymnis et apud alios: in filiam, ni fallor, Heliodoram Meleager, Αἶ, αἶ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θαλός; ἅρπασεν Ἅιδας.

54. Confer etiam Miltoni nostri Par. Am. iv. 677. *Millions of spiritual creatures walk the earth Unseen, both when we wake, and when we sleep.* De genere compellationis vide supra ad v. 1.

61. χάριτα τιθεμένη, i. e. *gratificans.* Noster Hec. 1201. εἴπερ τῷδ' ἐβουλήθης χάριν θέσθαι. Iph. T. 601. οὔκουν δίκαιον επ' ὀλέθρῳ τῷ τοῦδ' ἐμὲ χάριν τίθεσθαι. Ion. 1104. θέμενος χάριν. Bene igitur in Bacch. 720. χάριν θώμεθ', pro θῶμεν, quod insolentius est, restitui vult Elmsleius.

80. Locus plane gemellus extat in fragm. Belleroph. xxv. Οἶμαι δ' ἂν, ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς Εὔχοιτο, καὶ μὴ χειρὶ συλλέγοι βίον Βραχεῖ παρ' αὐτῶν πραγμάτων πεῖραν λαβεῖν. Posteriorem versum dedit Grotius de conjecturâ.

109. ἑζώμεσθα. *Consistamus*, vel *subsistamus*, ut benè interpretatur Elms. ad Heracl. 345.

112. συντείνω. *Incito, urgeo.* Hic transitivè usurpatur, ut in Bacch. 870. συντείνῃ δρόμημα κακῶν, quod monuit Elmsleius.

113. Hujusmodi verborum repetitiones, opinor, poetas, et præsertim nostrum in Choricis frequentitâsse, quoties vehementiores animi affectus

depingere voluerint. In Oreste, ut aliâ omittam, a v. 1346. (Ed. Pors.) usque ad v. 1519. plusquam vicies occurrunt.

125. Conferendus est nostri Orest. 1346. κτύπον ἐγείρετε κτύπον καὶ βοάν.

126. Simile quiddam habet noster in Fr. Archelai (Stob. Tit. cv.) Ἔστι καὶ παρὰ δάκρυσι Κείμενον ἡδὺ βροτοῖς, Ὅταν ἄνδρα φίλον Στενάχῃ τις ἐν οἴκτῳ. Notent tirones quod hujusmodi antiphrases in uno sæpe verbo reperiuntur, ut γλυκύπικρος, κλαυσίγελως et similia.

200. Legendum forsan τοῦ κατφθιμένου, quod etiam reponendum est in nostri Supp. 994. Vide ad v. 1292.

220. Citatis adde Xen. Cyrop. I. 6. 25. καρτερώτερον μᾶλλον. Eâdem fere ratione μάλιστα superlativis additur, cujus exemplum est μάλιστα ἀνοσιώτατος, Æl. XIII. 2. Fallitur igitur Thom. Magister qui has loquendi formulas poetis peculiares esse putat. Plura adeas ap. Monk. ad Hipp. 487. et Blomf. ad Sept. Theb. 670.

222. Adverbia *comparativi* gradus plerumque desinunt in ον, *superlativi* in α, ut ἐνδίκως, ώτερον, ώτατα. Rarissimè apud Atticos poetas hæc vel illa in ως terminantur. Hæc indicavit Cl. Elmsl. ad Heracl. 544.

233. Interrogative, necne, accipiantur particulæ ἤ που, parum aut nihil refert. Anglicè verte, *I suppose*. Elms. ad Heracl. 54.

236. Hunc versum ita interpretatur Elmsl. in Diarii Classici T. IX. *To enquire whether you are alive, and if you are alive, what your situation is*. Suspicatur tamen V. Cl. poetam scripsisse εἰ ζῇς, ὅπως τε, ζῶσα, συμφορᾶς ἔχεις.

240. Supra citatis adde Ter. Adelph. 5. 3. 21. si id te *mordet*. Cic. ad Att. 13. 12. Valde me *momorderunt* epistolæ tuæ de Atticâ nostrâ; eædem tamen sanaverunt.

273. Vox ἀκμή in linguam vernaculam translata id notat, quod in quâque re summum et præcipuum sit. Eodem quoque sensu usurpatur vox ἀκμάζειν.

307. De virginibus Atticis ὑδροφόροις vide Spanh. ad Call. H. in

Lav. Pall. v. 45. Quem morem tetigit Lucian. Dial. Mar. 6.—Ὁ Δαναὸς δὲ, inquit, σκληραγωρεῖ τὰς θυγατέρας, καὶ αὐτουργεῖν διδάσκει, καὶ πέμπει ὕδωρ ἀρυσομένας. Et infra, πολυδίψιον δὲ τὸ Ἄργος, ὥστε ἀνάγκη ἀεὶ ὑδροφορεῖν.

313. Pro vulgatis πρὸς δ' ἕδρας Ἀσιήτιδες feliciter Hermannus reposuit πρὸς δ' ἑδραίσιν Ἀσίδες. Cum illo consentit Blomf. ad Pers. 275. cujus notam adeas.

328. Geminatum dativum in hoc versu illustravit Elmsl. in Mus. Crit. T. II. p. 33. nostri conferens Troad. 630. Heracl. 63. Hel. 81.

339. Conferre libet Hec. 727. ἔα, τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ; ubi Schol. τοῦτεστι. τίς ἐστιν οὗτος—ὃν εἰσορῶ;—In hoc versu igitur τίνας τούσδ' ὁρῶ ξένους ponitur pro τίνες εἰσὶν οἵδε οἱ ξένοι, οὓς ὁρῶ.

368. Conferri potest Herod. Uran. CVI. με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μηδὲν εἶναι.

391. κατάλυσις propriè est *dissolutio* sive *exitus;* rarius, ut in hoc loco pro *diversatione hospitali* ponitur, quo tamen sensu occurrit in Polyb. II. p. 20. ποιοῦνται δὲ καταλύσεις ἐν τοῖς πανδοχείοις. Fusius de hâc voce disputavit Cl. Burneius in Censurâ cui titulus *Monthly Review,* Ann. 1799. p. 431.

398. Phrasis χαίρειν ἐῶ *contemnendi* vel *repudiandi* plerumque significationem habet, quo sensu ap. nostrum occurrit in fragm. Æoli (Stob. Tit. CXVII.) et Dict. (Stob. Ecl. Phys. Tit. XII.). Supra citatis adde notissimum illud Hor. Ep. II. 1. 180. *Valeat* res ludicra, si me Palma negata macrum, donata reducit opimum.

440. Debueram fortasse cum Elmsleio Εὐβοΐδας scripsisse. Doctissimam ejus notam adeas, ad Heracl. 84.

522. πλόκος pro πλόκαμος dictum extat apud nostrum Ion. 1266. Herc. Fur. 233. quæ monuit Cl. Elmsleius ad Bacch. 150. Addas Soph. Aj. 1179.

526. Schol. ad Orest. 1233. αἷμα, inquit, οἱ παῖδες, γένος οἱ ἀδελφοὶ, συγγένεια οἱ γαμβροί. Citatis adde Hom. Il. Z. 211. ταύτης τοι γενεῆς

τε καὶ αἵματος εὔχομαι εἶναι. Tibull. El. 1. 6. 65. *Te semper, natamque tuam te propter, amabo, Quicquid agat, sanguis est tamen illa tuus.*

541. Hic locus misere Editores exercuit. Olim conjeceram ἤ τις, δεσπότας λαθὼν χθονός. Melius fortasse Elmsleius ad Bacch. 959. facili transpositione restituit σκοποὺς λαθὼν ἐκείρατ', ἢ τῆσδε χθονός. Non enim, ut observat Vir eruditus, ad Agamemnonis sepulchrum sed ad Argivorum fines vigilabant custodes, neque civium causâ, sed hostium constituti erant.

575. Supervacaneum mihi videtur illud γάρ. Quare legerem facili mutatione, οὐδ' ἔγωγ' ἂν ἤλπισα.

649. Pro λέγ' ἡλίους, ingeniosè Elmsleius ad Heracl. 602. conjicit δεχ' ἡλίους, quæ lectio cum sequentibus magis convenit. Verisimillimum est, quod etiam in h. l. ut supra 180. literarum Δ et Λ similitudo errorem in textum invexerit.

679. Confer quæ dixi in Addendis ad v. 273.

684. εὐτρεπὲς ποιήσομαι. Nostri, *I will make ready*, ut benè vertit Cl. Elmsleius ad Bacch. 440. conferens Iph. T. 244. κατάργματα οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη. Idem planè sonat quod εὐτρεπίζω, Iph. T. 470.

686. Quæ supra dixi de verbo ὀλολύζειν ita confirmat Hemsterh. ad Lucian. I. 6. 59. usitatum h. v. olim affirmans de *faustis acclamationibus et ululatibus quos mulieres ad sacra ingeminabant*. Certè nisi de rebus lætis verbum ὀλολύζειν apud *veteres* vix reperias. Attamen ad fletus et lamentationem a *recentioribus* traductum est.

702. Pro ἰάχει mavult ἴαχεν Elmsl. ad Heracl. 752. primâ et secundâ brevi.

892. Apud Græcos vocabulum τέκνον de *brutis* usurpatur, ut νεοσσὸς de *liberis*, Alc. 414. ubi vide Monkium. Tale loquendi genus apud Latinos rarius. Attamen Ov. Met. III. 223. de canibus loquitur "*patre* Dictæo sed *matre* Laconide natis." Addas e Plin. x. 61. Vespertilio geminos amplexa *infantes*. Hujusmodi voces, ut τέκνον, παῖς, et similia,

ad res inanimatas more Hebræo frequentius transferuntur. Ita noster Hec. 1100. τὴν ἠχὼ vocat πέτρας ὀρείας παῖδα. Soph. Œd. T. 158. famam appellat τέκνον ἐλπίδος. Plura exempla cuivis inter legendum occurrent.

926. ὁ τῆς γυναικὸς, supple ἀνήρ. Loca, in quibus supplendum est vocabulum contrariæ significationis, congessit Elmsl. Addend. ad Heracl. 131. conferens nostri Orest. 740. Suppl. 528.

1008. Vox λαμβάνειν a poetis ita sæpe ad animum refertur, ut vel *personæ*, vel *rei* accusativus ab illâ pendeat. Hoc ex exemplis facilè intelligetur. Quum Homerus dixit Il. A. 387. Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν, dicere itidem potuisset, Ἀτρείων λάβε χόλον. Ita noster in hoc versu scripsit δόξ' ὅταν λάβῃ κακὴ γυναῖκα, in Herc. Fur. 292. παῖδας aliter dixit δόξαν κακὴν λαβόντας. Simili ferè ratione apud Latinos invertuntur quædam loquendi formulæ quibus adhibetur verbum *capio*, ut cum Terent. Eum. III. 1. 13. *cepit me satietas* dixit, Plautus dixit in Amphit. I. 2. 10. *capio satietatem.*

1112. In hoc versu γ' pro δ' restitui vult Cl. Blomf. ad Pers. 266.

1172. Antistrophicam hujus loci rationem retexit Seidlerus de Verss. Dochm. p. 372.; quocum non omnino assentiens veteres Edd. sequi tutius esse judicavi.

1281. Debueram in notis monuisse quod apud Græcos variæ corporis humani partes ad *littus*, *montes*, &c. quibus analogia quædam inesse videtur, referri solent. Exempla e nostro sunt νῶτα πέτρας Hipp. 127. χθονὸς, Iph. T. 46. γαίας, ib. 162. πόντου, ib. 1445. ἕσπερα, (sc. οὐρανοῦ,) Elect. 726. στόμα πύργων, Phœn. 1173. Δίρκας, Hipp. 556. πόντιον, Rhes. 436. ἀγκαλαι Ὠκεάνου, Or. 1378. πελάγιαι, Hel. 1068. ὀφρὺς αἰγιαλοῖο occurrit ap. Opp. Halieut. IV. 503. τοῦ ὀρούς. D. Luc. IV. 29. Hanc quoque loquendi rationem apud Latinos sæpe deprehendas, ut, *Dorsum* nemoris, Virg. Georg. III. 436. Hor. Sat. II. 6. 91. maris, Æn. I. 114. *tergum* undæ, Virg. Georg. III. 361. collis, Liv. XXV. 15. *supercilium* clivosi tramitis, Virg. Georg. I. 108. montis, Liv. XXXVII. amnis, (i. e. littus,) Apul. Metam. V. aquæ lene *caput* sacræ Hor. Od. I. 1. 22. Has et similes loquendi formulas ex Oriente profluxisse credi-

CORRIGENDA

IN TEXTU.

v. 180. ἐμόν.
186. τᾷ cum virgulâ.
225. ἕστηκα.
229. λόγων.
247. ᾧ cum virgulâ.
347. ἀνὴρ.
1053. εὖ.
1054. ἐστί.
1121. παιδὸς.
1296. Ἀπόλλων.

IN NOTIS.

v. 123, 1. σφαγείς.
174, 1. παρθενικάι.
178, 1, 5. χορούς.
180, 1. ἐμόν.
189, 1. θεός.
260, 2. Pro 969. corrige 964.
270, 1. φίλαί.
279, 1. ἐπισφάξασ'.
325, 1. κλεινός.
349, 1. πατρός.
381, 1. μή.
386, 9. φοιτῶσ'.
429, 1. γὰρ.
442, 1. ἀσπιστάς.
533, 1. καί.
606, 1. σέθεν.
624, 1. χεὶρ.
631, 1. γὰρ.
640, 1. ναί.
689, 1. κραυγήν.
691, 4. Pro 603. corrige 683.
731, 6. στερηθεῖσα.
826, 1. χρῆμ'.
832, 3. χέλυος.
838, 4. Ἀι.
850, 8. ἡ.
888, 1. ἀλλ'.
939, 6. δόρυ.
974, 7. Pro 359. corrige 360.
1021, 1. σύγγνωστ'.
1041, 1. ὁδόν.
1049, 1. ἀριθμόν.
1060, 1. ἀπῴχετο cum virgulâ.
1103, 1. λεχώ.
1121, 2. σελήνῃ cum virgulâ.
—— 4. μοι.
—— 5. *Post* Ed. Vict.
Princ. *insere* edidit Seidlerus.
1220, 1. *Dele* quatuor.
1234, 1. δέ.
1258, 15. ἐκσώσουσι.
1332, 3. VV. DD.
Pag. 31. In titulo. 411.